LUCIANI

SAMOSATENSIS

Dialogorum Selectorum

LIBRI DUO.

LUCIANI

Dialogorum Selectorum

LIBER UNUS.

LUCIANI
SAMOSATENSIS
Dialogorum Selectorum
LIBRI DUO,

A GULIELMO DU-GARDO recogniti, & (variis collatis exemplaribus) multò castigatiùs quàm antè editi:

CUM

Interpretatione Latinâ, multis in locis emendatâ, & ad calcem adjectâ.

Σπάρταν ἔλαχες, ταύτην κόσμει.

LONDINI:

Excudit T. WOOD;

Impensis J. WALTHOE, G. CONYERS, D. MIDWINTER, A. BETTESWORTH & C. HITCH, G. INNYS & R. MANBY, R. ROBINSON, B. MOTTE, A. WARD, J. & P. KNAPTON, T. LONGMAN, J. CLARKE, Duck-Lane, H. LINTOT, H. KNAPLOCK, & Exec. B. SPRINT.

M DCC XXXVII.

TYPOGRAPHUS

LECT. CANDIDO S.

DUOS hoſce *Luciani* Dialogorum Selectorum libros eo conſilio excudendos ſuſcepimus, ut Juventus Græcarum Literarum ſtudioſa ſine morum honeſtatiſque periculo illo Auctore poſthac uteretur; cujus alioqui dictionem ad Græcum ſermonem perdiſcendum cum primis aptam doctiſſimus quiſque judicaverit. Quantum

enim detrimentum adoleſcentium animis afferant ii, qui vel hunc, vel alios id genus Auctores ſine rerum delectu in lucem edunt, aut legendos proponunt, noſtrorum temporum perquam-corrupti mores, quorum incauta lectio parens eſt, ſatis declarant. Habenda igitur potior Virtutis ratio, neque committendum unquam, ut illius jacturam, vel maximæ eruditionis prætextu, Juventus faciat.

Latinam inſuper Interpretationem, multis in locis emendatam, viſum eſt potiùs ad calcem rejicere, quàm ex adverſo opponere: non ſolùm ut Græca Lingua accuratiùs excolatur, ſuo fulgore magìs ſplendens: ſed etiam ut otioſis Ignaviæ anſa penitus præcidatur,

tur, qui oculos in Interpretationem ſubinde conjicientes, eíque fidentes, pefunctoriè, ὡς ὅπι τὸ πολὺ (quod uſu compertum eſt) lectiones parant, memoriæ parùm conſulentes, atque adeò Græcarum Literarum ſtudium tantùm non contemptui habentes. Vale, *Amice Lector*, & noſtris conatibus fave.

Ut Lectori innoteſcat quid in hac Editione præſtitum ſit, viſum eſt σφάλματα nonnulla, & ὑστερήματα priorum Editionum, præſertim *Londinenſis*, ob oculos ponere, quæ omnia in hac poſtremâ emendari, ſuppleríque videat.

Pr. notat Edit. priorem: *Nov.* hanc novam.

Διάλ. α'. *pr.* τὸ κῇ πρῶτον. *nov. pag.* 1. *lin.* 5. τὸ μὲ πρῶτον. — *pr.* ἀνέπλϕ ἀλλὰ. *nov. p.* 1. *l.* 9. ἀνέπλϕ. ἀλλὰ — *pr.* τῇ θύρα. *nov. p.* 1. *l.* 13. τῇ θύρᾳ. — *pr.* ὁ ἔφερον. *n. p.* 1. *l.* 15. ὃ ἔφερον. — *pr.* πόντι. *n. p.* 2. *l.* 6. πιόντι. — ἀνεςρέφετι. *n.* 2. 7. ἀνεςρέφετο. *pr.* πυρώσως. *n. p.* 2. *l.* 10. πυρώσας. — *pr.* δἔφυγεν. *n.* 2. 14. διέφυγεν. — *pr.* νόμιλω. *n. p.* 2. *l.* 19. νομὴν. — *pr.* ὑπ' ἐκείνος. *n.* 2. 22. ὑπ' ἐκείνοις. — *pr.* ὑπεξελθῶν σε. *n.* 2. 22. ὑπεξελθών σι. — *pr.* μελαϊχολᾷν. *n.* 2. 27. μελαγχολᾶν. *& alia hujuſmodi multa in quolibet Dialogo, quæ cujuſlibet Græcis literis leviter imbuti eſt corrigere.*

Διάλ. δ'. *pr.* κατέχθη. *n.* 5. 21. κατιωέχθη. — *pr.* κἀκείνιλω. *n.* 6. 1. κἀκείνίλω.

Διάλ. ζ'. *pr.* κἀν. *n.* 9. 23. κᾆν.

Διάλ. ιϑ'. *pr.* ἐμβῶν. *n.* 15. 25. ἔμβιον.

Διάλ. ιε'. *pr.* Χαρμόλεως ὁ μεγαρικός. ΕΡΜ. ἀπόδυθι. *n.* 21. 27. Χαρμόλεως ὁ Μεγαρικὸς ἑπέρας ϑ',

ἐπέρας☞, ᾧ τὸ φίλημα διτάλαντον ἦν. ΕΡΜ. Ἀπόδυθι. — pr. τὸ κάλλος καὶ τὴν κόμην. n. 21. 30. τὸ κάλλος, καὶ τὰ χείλη αὐτοῖς φιλήμασι, καὶ τὴν κόμην. — pr. δαπάνησθε πολυτελῆ δεῖπνα, μηδὲ ἐξαπατῶν τὰς νέας. n. 24. 30. δαπάνησθε πολυτελῆ δεῖπνα, μηδὲ νύκτωρ ἐξιὼν, ἅπαντας λανθάνων, τῷ ἱματίῳ τὴν κεφαλὴν κατακάσας, φεύγσιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα. καὶ ἔνθεν ἐξαπατῶν τὰς νέας. ———

Διάλ. ιή. pr. οἷα ἐποίει ἐν Καπύῃ, τὰς δὲ πολέμους καιρούς. n. 30. 29. οἷα ἐποίει ἐν Καπύῃ, ἑταίραις συνὼν, καὶ τὰς δὲ πολέμους καιρούς——

Διάλ. ιθ'. pr. φεὶ τῆς Ὀλυμπιάδος☞ τῆς μητέρος σου ὅμοια πολλὰ ἐλέγοντο. Ἀλέξανδ. κἀγὼ. nou. 31. 29. ἐλέγοντο. Δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπειν ἐν τῇ εὐνῇ. εἶτα ὕστω σε τεχθῆναι, τὸ ὂν Φίλιππον ἐξαπατῆν οἰόμενον πατέρα σου εἶναι. Α Λ. Κἀγὼ ταῦτα——

Διάλ. κά. pr. ὅτε οἱ τῶν Ἀχαιῶν θεραπεύουσιν. Ταῦτά με ἀνιᾷ. n. 37. 1. θεραπεύουσιν, ἰσηγορία δὲ ἀκριβὴς, καὶ νεκροὶ ὅμοιοι, ἡμῶν κακὸς, ἠδὲ καὶ ἐσθλός. Ταῦτά με ἀνιᾷ———

Διάλ. κβ'. pr. Θάρρει, ὦ Τάνταλε, ὡς ὅτε σὺ, n. 38. 27. ὦ Τάνταλε, εὖ ἴσθι ὡς ὅτε σύ——

Διάλ. κγ'. pr. αὐτῷ τὸ κρανίον, γυναικεῖον ὄν. βάλε δέ σοι ἐπιδείξω. n. 39. 33. γυναικεῖον ὄν. ΜΕΝΙΠ. Οὐκοῦν, ἀλλὰ προσπλύζομαί γε πάντως ἀνδρογύνῳ ὄντι. ΑΙΑΚ. Βάλε δέ σοι ἐπιδείξω. —— pr. ἄλλα παρὰ νεκροῖς δόγματα. Αἰ. ὅτ☞ δὲ Σόλων. n. 40. 8. ἄλλα παρὰ νεκροῖς δόγματα. ἔμαθον γὰρ ὡς ὑδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε. ΑΙΑΚ. Οὕτ☞ δὲ Σόλων. —— pr. τὴν σεαυτοῦ

σεαυτῦ τέχνῳ. Σωκ. τί γὰρ ἄν ἄλλο. n. 41. 17. τὴν σεαυτῦ τέχνῳ, καὶ ὀλιγωρεῖς τῶν καλῶν. ΣΩΚ. Τί γὰρ ἂν ἄλλο.———

Διάλ. κθ'. pr. ὁ δὲ Λάμπις ἀποσφάξας ἑαυτόν. n. 49. 32. ὁ ὁ Λάμπις δι' ἔρωτα Μυρτίδος τῆς ἑταίρας ἀποσφάξας ἑαυτόν. —— pr. σὺ δὲ, ὦ ἀκαρνάν, ἔσεσε γὰρ κἀκεῖνος τί αἰτιᾷ τὰς ἄλλας. n. 50. 6. σὺ δὲ, ὦ Ἀκαρνὰν (ἔσεσε γὰρ κἀκεῖνος, καὶ κατηρᾶτο τῇ Μυρτίῳ,) τί αἰτιᾷ τὸν ἔρωτα, σαυτὸν δὲ ἄ; — pr. ὑπὸ δὲ τῆς αἰσχρᾶς ἡδονῆς, ἐάλως ὁ γενναῖος. n. 50. 10. ὑπὸ δὲ τυχόντος παιδισκαρίου, καὶ δακρύων ἐπιπλάσεων καὶ σεναγμῶν, ἐάλως———

Διάλ. λϐ'. pr. ἡδέα τὰ ἁπάντων. n. 58. 26. ἡδέα τὰ ἁπαντώντων. —— pr. οἶμαι δὲ καὶ τὴν σκηνῆς πολλάκις. 64. 18. καὶ τὰ ἐπὶ σκηνῆς. — pr. ὑπέμνησαι n. 66. 11. ὑπέμνησας.——

Διάλ. λγ'. pr. Χάρ. καὶ ὡς φιλοτιμῶν) πρὸς ἀλλήλας. n. 82. 25. ΧΑΡ. Καὶ τοιῶτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιῶσι, ὡς φιλοτιμῶν). ——— pr. Ὀθρυάδην, τὸ ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὐτῦ ὀνόματι. — n. 82. 33. ——— αἵματι. ———

Βιβλίῳ β'.

Διάλ. ϛ'. pr. δύο γυναῖκας ἀνήγαγε, τήν τε Ἀριάδνην. n. 97. 7. γυναῖκας ἀνήγαγε, τὴν μὲν ἐρωμένην ὖσαν αὐτῦ, τήν τε Ἀριάδνην ——— pr. καὶ τὴν Ἰκαρίαν. n. 97. 10. τὴν δὲ Ἰκαρίαν ——— pr. εἰ μὴ ἔξῃ σὺν τῷ ἐραστῷ τὸ κυνίδιον αὐτῆς —— n. 97. 13. ——

σὺν

σὺ τῷ ἀρανῷ τὸ ξύνηθες σὸ εἶνο, κὴ ὅπερ ἠγαπα κονίδιον αὐτῆς. —— pr. κὴ τὴν αἰτίαν σὺ, ὦ Ζεῦ, παρέχες. Αὐτὸς γὴ σὺ επέπληκάς γε—— n. 98. 2. —— τὴν αἰτίαν ἔ νοθυθῆναι ἡμῶν τὸ ξυνέδριον σὺ, ὦ Ζεῦ, παρέχες, θνητοῖς ἐπιμιγνύμῳ κὴ κατιὼν παρ' αὐτὰς σὺ ἄλλοτε ἄλλῳ χήματι. ὥστε ἡμᾶς δεδιέναι μή σε καταθύσῃ τις ξυλλαβὼν, ὁπότε ἂν ταῦρ ἧς, ἢ τῶν χρυσοχόων τις κατεργάζε χρυσὸν ὄντα. κὴ ἀντὶ Διὸς, ἡ ὅρμ, ἢ ψέλιον, ἢ ἐλλόδιον ἡμῖν γένῃ, πλὴν ἀλλὰ ἐμπέπληκάς γε —— τὸν ἀρανὸν τ ἡμιθέων τύτων. —— pr. ἀνέωξας τοῖς τοιύτοις τὰς θύρας, ἅπαντες —— —— n. 98. 20. —— τὰς θύρας, κὴ ἐπὶ τὰς θνητὰς ἐτράπῃ, ἅπαντες —— pr. κὴ αἱ θήλφαι θεαί. ὥστε ταῦτα μὲ ἑάσφ —— n. 98. 22. —— αἱ θήλφαι θεαί. τίς γὴ σὸκ οἶδε τ Ἀσχίσλω, καὶ τ Τιθωνὸν, καὶ τ Ἐνδυμίωνα, καὶ τ Ἰάσωνα, καὶ τὺς ἄλλυς, ὥστε ταῦτα μὲ ἑάσφ ——

Διάλ. γ'. pr. —— παράπαν, μήτε προσομιλύς τὸ ὅλον. διόπερ καὶ αὐτὸς —— pov. 110. 14. —— τὸ παράπαν, μήτε προσομιλύς τὸ ὅλον. Σκόπ γὴ, ὦ Ζεῦ, πρὸς τ Διὸς, εἴ τις νόμῳ γήμας γυναῖκα νέαν, καὶ καλὴν, ἔπφτα μήτε φυλάττοι, μήτε ζηλοτυποῖ τὸ παράπαν, ἀφιεὶς καὶ βαδίζφ ἔνθα ἂν ἐθέλοι νύκτωρ, καὶ μεθ' ἡμέραν, καὶ ξωνεῖναι τοῖς βυλομένοις, μᾶλλον δὲ αὐτὸς ἀπάγοι μοιχοθυησομένῳ ἀνοίγων τὰς θύρας, καὶ μαστροπεύων, καὶ πάντας ἐπ' αὐτὴν καλῶν, ἆρα ὁ τοιύτ ἐρᾷν δόξει ἄν; ὃ σό γε, ὦ Ζεῦ, φαίης ἄν, ἐραθεὶς πολλάκις. εἰ δέ τις ἔμπαλιν ἐλθὼν ἔραν γυναῖκα εἰς τὴν οἰκίαν νόμῳ παραλαβὼν ἐπ' ἀρότῳ παίδων γνησίων, ὁ δὲ,

μήτε

μήτε αὐτὸς προσάπτοιτο ἀκμαίας καὶ καλῆς παρθένου, μήτε ἄλλῳ προσβλέπειν ἐπιτρέποι, ἄγονον δὲ καὶ σεῖραν κατακλείσας παρθενεύοι, καὶ ταῦτα ἐρᾶν φάσκων, καὶ δῆλος ὢν ἀπὸ τῆς χρόας, καὶ τῆς σαρκὸς ἐκτετηκυίας, καὶ τῶν ὀφθαλμῶν ὑποδεδυκότων, ἔσθ' ὅπως ὁ τοιοῦτος ὁ παραπαίειν δόξειεν ἄν, δέον παιδοποιεῖσθαι, καὶ ἀπολαύειν τῆς γάμου, καταμαραίνων εὐπρόσωπον ὄντα καὶ ἐπέρασον κόρην, καθάπερ ἱέρειαν τῇ θεσμοφόρῳ τρέφων ἀφ' παντὸς τοῦ βίου; Διόπερ ταῦτα καὶ αὐτὸς —— pr. —— ἡ κόλαξ, ἡ οἰκέτης, μέγα τὸ μίσθωμα —— n. 112. 13. —— ἡ κόλαξ, ἡ καταπύγων οἰκέτης, ἐκ παιδικῶν τίμιος ὑπερυμνύμενος ἔτι τὴν νάθον ἀντὶ ποικίλων καὶ παντοδαπῶν ἡδονῶν, ἃς ἤδη ἔξω ὢν ὑπερήτησαν αὐτῷ μέγα τὸ μίσθωμα —— pr. ἄχρις ἂν ἡ ἱπποτροφίας —— n. 113. 15. —— ἄχρις ἂν, ἢ ἐς πορνίδιόν τι ἐμπεσὼν, ἢ ἱπποτροφίας —— pr. ὦ φίλτατε καὶ ἐρασμιώτατε. ὦ Μίδα καὶ Κροῖσε —— n. 120. 23. —— ὦ φίλτατε καὶ ἐρασμιώτατε. νῦν πείθομαί γε καὶ Δία ποτὲ γενέσθαι χρυσόν. τίς γὰρ οὐκ ἂν παρθένος ἀναπεπταμένοις ταῖς κόλπαις ὑποδέξαιτο ὄντα καλὸν ἐρασὴν ἀφ' τοῦ τέγους καταῤῥέοντα; ὦ Μίδα καὶ Κροῖσε —— pr. —— θεὸς ἐς νέωτα καὶ τὸ γενησόμενον —— n. 125. 6. —— ἐς νέωτα, καὶ παιδοποιήσομαι, καὶ τὸ γεννηθησόμενον —— pr. —— ἐκφέρουσι αὐτὸν ἐν τοῦ συμποσίου πλὴν ἀλλὰ καὶ νήφων, —— n. 126. 20. —— ἐκφέρουσι αὐτὸν ἐκ τοῦ συμποσίου τῆς αὐλητρίδος ἀμφοτέραις ἐπλημμυρῶν. πλὴν ἀλλὰ ἐκ νήφων. ——

ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ ΔΙΑΛΟΓΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΔΙΑΛΟΓΟΣ ά.

Κύκλωπος καὶ Ποσειδῶνος.

ΚΥΚ. Ὦ Πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ μου τὸν ὀφθαλμὸν ἐπιχειρήσας; ΠΟΣ. Τίς δὲ ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε; ΚΥΚΛ. Τὸ μὲν πρῶτον ΟΥΤΙΝ ἑαυτὸν ἀπεκάλει, ἐπεὶ δὲ διέφυγε, καὶ ἔξω ἦν βέλους, Ὀδυσεὺς ὀνομάζεσθαι ἔφη. ΠΟΣ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον, ἐξ Ἰλίου δὲ ἀνέπλευ. ἀλλὰ πῶς ταῦτ' ἔπραξεν, ἢ σὺ πάνυ σὺθαρσὴς ὤν; ΚΥΚΛ. Κατελάβομεν τῷ ἄντρῳ, ἀπὸ τῆς νομῆς ἀναστρέψας, πολλοὺς τινας ἐπιβουλεύοντας δηλονότι τοῖς ποιμνίοις. ἐπεὶ δὲ ἔθηκα τῇ θύρᾳ τὸ πῶμα (πέτρα δέ ἐστί μοι παμμεγέθης) καὶ τὸ πῦρ ἀνέκαυσα, συγκαυσάμενος ὁ ἕτερον δένδρον ἀπὸ τῆς ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὐτοὺς πειρώμενοι, ἐγὼ δὲ συλλαβὼν αὐτῶν τινας, ὥσπερ

εἰκὸς ἦν, κατέφαγον λιμῷ ὄντας. ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε ΟΥΤΙΣ, εἴτε Ὀδυσεὺς ἦν, δίδωσι μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπισχε-
5 λαστότατον δὲ καὶ ταραχωδέστατον, ἅπαντα δὲ εὐθὺς ἐδόκει μοι συμφέρεσθαι πιόντι, καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο, καὶ σὺν ἔτι ὅλως ἐν ἐμαυτῷ ἤμην. τέλος δέ, εἰς ὕπνον κατεσπάσθην. ὁ δὲ ἐποξύσας τὸ μοχλὸν, καὶ πυ-
10 ρώσας γε, προσέτι ἐτύφλωσέ με καθεύδοντα· καὶ ἀπ' ἐκείνου τυφλός εἰμί σοι, ὦ Ποσείδον.

ΠΟΣ. Ὡς βαθὺν ἐκοιμήθης, ὦ τέκνον, ᾗς σὺν ἐξέθορες μεταξὺ τυφλώσεως; ὁ δ' ἦν Ὀδυσεὺς πῶς διέφυγεν;

15 ΚΥΚΛ. Ὅτι ἐδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας. ΚΥΚΛ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάσιοιμι ἐξιόντα. καὶ καθίσας παρὰ τὴν θύραν, ἐθήρων τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομήν,
20 συντιλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

ΠΟΣ. Μανθάνω, ὑπ' ἐκείνοις ὅτι γε ἔλαθεν ὑπεξελθών σε. ἀλλὰ τοὺς ἄλλους γε Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν.

25 ΚΥΚΛ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἦκον. ἐπεὶ δὲ εἴροντο τὸ ἐπιβουλεύοντος τὸ ὄνομα, κἀγὼ ἔφην, ὅτι ΟΥΤΙΣ ἐστὶ, μελαγχολῶν οἰηθέντες με, ᾤχοντο ἀπιόντες· ὥστε κατεσοφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. καὶ ὃ μάλιστα ἡνίασέ με, ὅτι καὶ
30 ἀνωδίζων ἐμοὶ τὴν συμφορὰν, ἔδ' ὁ πατήρ, φησὶν, ὁ Ποσειδῶν ἰάσεταί σε.

ΠΟΣ. Θάρσει, ὦ τέκνον, ἀμυνοῦμαί γε αὐτὸν, ὡς μάθῃ, ὅτι εἰ καὶ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τά γε τῶν πλοίων τὸ σώζειν
35 αὐτοὺς καὶ ἀπολύειν ἐπ' ἐμοὶ πρόσεστιν. πλεῖ δὲ ἔτι.

ΔΙΑΛΟ-

ΔΙΑΛΟΓΟΣ β'.

Μενελάου καὶ Πρωτέως.

ΜΕΝ. ΑΛΛΑ' ὕδωρ μέν σε γίνεσθαι, ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, ἀνάλιόν γε ὄντα· καὶ δένδρον ἔτι φορητόν· καὶ ἐς λέοντα ὁπότε ἀλλαγείης, ὅμως ἐδὲ τοῦτο ἔξω πίστεως. εἰ δὲ καὶ πῦρ γίνεσθαι δυνατὸν ἐν τῇ θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω, καὶ ἀπιστῶ. ΠΡΩ. Μὴ θαυμάσῃς, ὦ Μενέλαε. γίγνομαι γάρ. ΜΕΝ. Εἶδον καὶ αὐτός. ἀλλά μοι δοκεῖς (εἰρήσεται γὰρ πρὸς σε) γοητείαν τινὰ προσάγειν τῷ πράγματι, καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τῶν ὁρώντων, αὐτὸς ἐδὲν τοιοῦτο γιγνόμενος. ΠΡΩ. Καὶ τίς ἂν ἡ ἀπάτη ἐπὶ τοῦ ὕδατος ἐναργῶν γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες, ἐς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς, καὶ τὸ πρᾶγμα ψευδὲς εἶναι δοκεῖ, φαντασία τις πρὸ τῶν ὀφθαλμῶν ἰσαμβής, ἐπεὶδαν πῦρ γένωμαι, προσένεγκέ μοι, ὦ γενναιότατε, τὴν χεῖρα. εἴσῃ γάρ, εἰ ὀρῶμαι μόνον, ἢ καὶ τὸ καίειν τότε μοι πρόσεστιν. ΜΕΝ. Οὐκ ἀσφαλὴς ἡ πεῖρα, ὦ Πρωτεῦ. ΠΡΩ. Σὺ δέ μοι, Μενέλαε, δοκεῖς ἐδὲ πολύπους ἑωρακέναι πώποτε, ἐδ' ὃ πάσχει ὁ ἰχθὺς οὕτω εἰδέναι. ΜΕΝ. Ἀλλὰ τὸ μὲ πολύπους εἶδον. ὃ πάσχει δέ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ. ΠΡΩ. Ὁποῖόν ἐστιν, ὅταν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας, καὶ προσφὺς ἔχῃ κατὰ τὰς πλευράνας, τοιοῦτον ἀπεργάζεται ἑαυτόν, καὶ μεταβάλλει τὴν χρόαν, μιμούμενος τὴν πέτραν, ὡς ἂν λάθῃ τοὺς ἁλιέας, μὴ ἀφανὴς

ὧν ἕνεκα τοῦτο; ἀλλ' εἰκὸς τῷ λίθῳ. ΜΕΝ. Φασὶ ταῦτα. τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Πρωτεῦ. ΠΡΩ. Οὐκ οἶδα, ὦ Μενέλαε, τίνι ἂν ἄλλῳ πιστεύσειας, τοῖς σεαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν; ΜΕΝ. Ἰδὼν εἶδον. ἀλλὰ τὸ πρᾶγμα τερατῶδες, τὸ αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

ΔΙΑΛΟΓΟΣ γ'.

Ποσειδῶνος καὶ Δελφίνων.

ΠΟΣ. Ἔγωγε, ὦ Δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε, καὶ πάλαι μὲν τὸ τῆς Ἰνοῦς παιδίον ἐπὶ τὸν Ἰσθμὸν κομίσατε, ὑποδεξάμενοι ἀπὸ τῶν Σκιρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσόν. καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τοῦτον τὸν ἐκ Μηθύμνης ἀναλαβὼν, ἐξενήξω εἰς Ταίναρον αὐτῇ σκοπιᾷ καὶ κιθάρᾳ. ὑδὲ παρειδες κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον. ΔΕΛ. Μὴ θαυμάσῃς, ὦ Πόσειδον, εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν, ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι. ΠΟΣ. Καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δίον χορὸν μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο· ὅπως γῆν τὰ κατὰ τὸν Ἀρίονα τοῦτον ἐγένετο, ὦ Δελφίν; ΔΕΛ. Ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ, καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τὴν τέχνην. ὁ δὲ πλεύσας παρὰ τὸν τυράννου ἐπεθύμησε, πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν, ἐπιδείξασθαι τὸν πλοῦτον, καὶ ἐπιβὰς πομπείου τινὸς κακέργων ἀνδρῶν, ὡς ἔοικε πολὺν ἄγων χρυσὸν καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένετο,

ἐγένετο, ἐπιβουλεύσειν αὐτῷ οἱ ναῦται, ὁ δὲ, (ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει) ἐπεὶ ταῦτα ὑμῖν δέδοκται, ἔφη, ἀλλὰ τὴν σκοπὴν ἀναλαβόντα με, καὶ ἅσαντα θρηνόν τινα ἐπ' ἐμαυτῷ, ἐκόντα ἐάσατε ῥίψαι ἐμαυτόν. ἐπέτρεψαν οἱ ναῦται. καὶ ἀνέλαβε τὴν σκοπὴν, καὶ ἦσε πάνυ λιγυρῶς, καὶ ἔπεσεν εἰς τὴν θάλατταν, ὡς αὐτίκα πάντας ἀποθανόμενον. Ἐγὼ δὲ ὑπολαβὼν, καὶ ἀναθέμενον αὐτὸν, ἐξενηξάμην ἔχων εἰς Ταίναρον. ΠΟΣ. Ἑταιρῶν τῶν φιλομουσίας· ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ τῆς ἀκροάσεως.

ΔΙΑΛΟΓΟΣ Ε'.

Ποσειδῶνος καὶ Νηρηίδων.

ΠΟΣ. Τοῦτο μὲν ξενὸν τοῦτο, ἐς ὃ ἡ παῖς κατηνέχθη, Ἑλλήσποντος ἀπ' αὐτῆς καλείσθω. τὸ δὲ νεκρὸν ὑμεῖς, ὦ Νηρηίδες παραλαβοῦσαι τῇ Τροιάδι προσενέγκατε, ὡς ταφείη ὑπὸ τῶν ἐπιχωρίων. ΝΗΡ. Μηδαμῶς, ὦ Πόσειδον. ἀλλ' ἐνταῦθα ἐν τῷ ἐπωνύμῳ πελάγει τεθάφθω, ἐλεεῖσθαι γὰρ αὐτὸν οἰκίσασα ὑπὸ τῆς μητρυιᾶς ἐπόνθυιαν. ΠΟΣ. Τοῦτο μὲν, ὦ Ἀμφιτρίτη, ἡ Θέμις. ἢ δ' ἄλλως καλὸν ἐνταῦθά που κεῖσθαι ὑπὸ τῇ ψάμμῳ αὐτήν· ἀλλ', ὅπερ ἔφην, ἐν τῇ Τροιάδι ἐν τῇ Χερρονήσῳ τεθάψεις· ἐκεῖνο δὲ παραμύθιον ἔσται αὐτῇ, ὅτι μετ' ὀλίγον τὰ αὐτὰ καὶ ἡ Ἰνὼ πείσεται, καὶ ἐμπεσεῖται ὑπὸ τοῦ Ἀθάμαντος διανομὴν εἰς τὸ πέλαγος, ἀπ' ἄκρας τῆς Κιθαιρῶνος, καθόπερ καθήκει ἐς τὴν θάλασσαν, ἔχουσα καὶ τὸν υἱὸν

ἐπὶ τῆς ἀγκάλης. ΝΗΡ. Ἀλλὰ καὶ ἐκείνῳ σῶσαι δέησει, χαρισάμενος τῷ Διονύσῳ. τροφὸς γὰρ αὐτοῦ καὶ τίτθη ἡ Ἰνώ. ΠΟΣ. Οὐκ ἐχρῆν οὕτω πονηρὰν οὖσαν. ἀλλὰ τῷ Διονύσῳ ἀχαρίστειν, ὦ Ἀμφιτρίτη, οὐκ ἄξιον. ΝΗΡ. Αὕτη ἦ ἄρα τί παθοῦσα κατέπεσεν ἀπὸ τοῦ κριοῦ; ὁ ἀδελφὸς δὲ ὁ Φρυξὸς ἀσφαλῶς ὀχεῖται; ΠΟΣ. Εἰκότως· νεανίας γάρ, καὶ δύναται ἀντέχειν πρὸς τὴν φοράν. ἡ δὲ, ὑπὸ ἀηθείας ἐπιβᾶσα ὀχήματος παραδόξου, καὶ ἀπιδοῦσα εἰς βάθος ἀχανὲς, ἐκπλαγεῖσα, καὶ τῷ θάμβει ἅμα ζεθεῖσα, καὶ ἰλιγγιάσασα πρὸς τὸ σφοδρὸν τῆς πλήσεως, ἀκρατὴς ἐγένετο τοῦ κεράτων τοῦ κριοῦ, ὧν τέως ἀπείληπτο, καὶ κατέπεσεν εἰς τὸ πέλαγος. ΝΗΡ. Οὐκοῦν ἐχρῆν τὴν μητέρα τὴν Νεφέλλῃ βοηθεῖν πιπτούσῃ; ΠΟΣ. Ἐχρῆν. ἀλλὰ ἡ Μοῖρα πολλῷ τοῦ Νεφέλης δυνατωτέρα.

ΔΙΑΛΟΓΟΣ ε'.

Ξάνθε καὶ Θαλάσσης.

ΞΑΝ. Δέξαι με, ὦ Θάλασσα, δεινὰ πεπονθότα, κατάσβεσόν μου τὰ τραύματα. ΘΑΛ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν; ΞΑΝ. Ἥφαιστος. ἀλλ' ἀπολωλέκαμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω. ΘΑΛ. Διὰ τί δέ σοι ἐνέβαλε τὸ πῦρ; ΞΑΝΘ. Διὰ τὸν υἱὸν τὸν Θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἐκέτευσα, οὐδ' οὗτος ἐπαύσατο τοῦ ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἀπέφραττέ μοι τὸ ῥεῦμα, ἐλεήσας τοὺς ἀθλίους, ἐπῆλθον, ἐπικλύσαι

κλύσαι θέλων, ὡς φοβηθεὶς ἀπόχοιτο τὸν ἀνδρῶν· ἐνταῦθα ὁ Ἥφαιστος (ἔτυχε γὰρ πλησίον πως ὤν) πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ Αἴτνῃ, καὶ εἰπόθι ἄλλοθεν φέρων, ἐπῆλθέ μοι, καὶ ἔκαυσε μὲν τὰς πλευράς, καὶ μυρίκας, ὥπλησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλυας. αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, μικρᾶς δεῖν ὅλον ξηρὸν εἰργάσατο. ὁρᾷς δή, ἂν ὅπως ἀμφήμαι ὑπὸ τῶν ἐγκαυμάτων; ΘΑΛ. Θολερὸς, ὦ Ξάνθε, καὶ θερμὸς, ὡς εἰκός. τὸ αἷμα μὲν ἀπὸ τῶν νεκρῶν. ἡ θέρμη δὲ, ὡς φῂς, ἀπὸ τοῦ πυρός. καὶ εἰκότως, ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι Νηρεΐδου υἱὸς ἦν. ΞΑΝ. Οὐκ ἔδει δῆν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας; ΘΑΛ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τοῦ Ἀχιλλέα;

ΔΙΑΛΟΓΟΣ ε'.

Διὸς, Ἀσκληπιῦ, καὶ Ἡρακλέους.

ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι. ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια δή σοι μυήσεσθαι τῶν θεῶν. ΗΡΑΚ. Ἀλλὰ ἐθέλοις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου; ΑΣΚΛ. Νὴ Δία, καὶ ἀμείνων γάρ εἰμι. ΗΡΑΚ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐνεραύνωσεν, ἃ μὴ θέμις ποιοῦντα; νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας; ΑΣΚ. Ἐπιλέλησθας γὰρ καὶ σὺ, ὦ Ἡράκλες, ἐν τῇ Οἰτῃ κατακλαγείς, ὅτι μοι ὠγθείζοις τὸ πῦρ; ΗΡΑΚ.

ἄκων ἴσα καὶ ὅμοια βεβίωκε ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἀκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. σὺ δὲ ῥιζατόμενος εἶ καὶ ἀγύρτης· νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τὰ φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδήγμενός. ΑΣΚΛ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτι πρώην ἀνῆλθες ἡμίφλεκτος, ὑπ' ἀμφοῖν διεφθαρμένος τῷ σώματι, καὶ χιτῶνος, καὶ μετὰ τοῦτο καὶ πυρός. Ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, ἀλλὰ ἐδήλωσα ὥσπερ σὺ, ὅτε ἐξαίνου ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκὼς, καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ. ἀλλ' ὁ δὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα, καὶ τὴν γυναῖκα. ΗΡΑΚ. Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ, ὡς ὁ κολοσύσει σε ὀπώρᾳ ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε, ῥίψω ἐπὶ κεφαλὴν ἐν τῷ οὐρανῷ, ὥστε μηδὲ τὸν Παιήονα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα. ΖΕΥΣ. Παύσεσθε, φημὶ, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀπεπέμψομαι ὑμᾶς τοῦ συμποσίου. καί τοι εὐγναμον, ὦ Ἡρακλες, προκατακλίνεσθαί σου τοῦ Ἀσκληπιοῦ, ἅτε καὶ πρότερον ἀποθανόντα.

ΔΙΑΛΟΓΟΣ ζ'.

Ἄρεως καὶ Ἑρμοῦ.

ΑΡ. Ἧκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεὺς, ὡς ὑπερφιλὰ καὶ κἀπίθανα; ἢν ἐθελήσω, φησὶν, ἐγὼ μὲν ἐν τῷ οὐρανῷ στρὰν καθήσω, ὑμεῖς δὲ ἢν ἀποκρεμασθέντες

θέντες καταστρᾶν βιάζεσθέ με, μάτην πονήσετε· ὐ γὰρ δὴ καθελκύσετε. Εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι ὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλασσαν σωαρτήσας μετεωριῶ, καὶ τἄλλα ὅσα καὶ σὺ ἀκήκοας. ἐγὰ δὲ ὅτι μὲν καθ' ἓν ἁπάντων ἀμείνων καὶ ἰσχυρότερός ἐσω, ὐκ ἂν ἀρνηθείην. ὁμῶς δὲ τοσούτων ὑπερφέρειν, ὡς μὴ καταβαρήσῃ αὐτὸν, κἂν τὴν γῆν, κἂν τὴν θάλασσαν προσλάβωμαι, ὐκ ἂν πεισθείην. ΕΡΜ. Εὐφήμει, ὦ Ἄρες· ὐ γὰρ ἀσφαλὲς λέγεις τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας. ΑΡΗΣ. Οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν; ὐχὶ δὲ πρὸς μόνον σε, ὃν ἐχεμυθεῖν ἠπιστάμην; ὃ γοῦν μάλιστα γελοῖον ἔ. δοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, ὐκ ἂν δυναίμην σιωπῆσαι πρός σε. μέμνησαι γὰρ ὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν, καὶ ἡ Ἥρα, καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες ἐπεβούλευσαν ξυνδῆσαι αὐτὸν λαβόντες, ὡς παντοίῳ ὢν δεδιὼς, καὶ ταῦτα, τρεῖς ὄντας. καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο αὐτῷ χεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ, ἐπήει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ. ΕΡΜ. Σιώπα, εὐφήμει. ὐ γὰρ ἀσφαλὲς ὅτε σοι λέγει, ὅτε ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

ΔΙΑΛΟΓΟΣ η'.

Διογένης καὶ Πολυδεύκης.

ΔΙΟΓ. Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπιδὰν τάχιστα ἀνέλθῃς (σὸν γάρ ἐστιν οἶμαι ἀναβαίνειν αὖριον) ἢν πως ὀφθῇς Μένιππον τὸν κύνα (εὑρήσεις δ' ἂν αὐ-

τὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνιον, ἢ ἐν Λυκείῳ τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα) εἰπεῖν πρὸς αὐτὸν, ὅτι σοι, ὦ Μένιππε, κελεύει ὁ Διογένης, εἰ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασαι, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον. ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοι ἔτι ὁ γέλως ἦν, ἐπὶ πολὺ τὸ, τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; ἐνταῦθα δὲ, ἐὰν παύσῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν. ἐπὶ μάλιστα ἐπῄδειν ὁρᾶν τοὺς πλουσίους, σατράπας, καὶ τυράννους, ὅτου ταπεινοὺς, καὶ ἀσήμους, καὶ μόνης οἰμωγῆς ἀφθόγγους. ἔτι μανθάνοιεν καὶ ἀγενεῖς εἰσι, μεμνημένοι τῶν ἄνω. ταῦτα λέγε αὐτῷ. καὶ προσέτι, ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν, καὶ εἴ που εὑροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον, ἢ ᾠὸν ἐν καθαρσίῳ, ἤ τι τοιοῦτο. ΠΟΛΥ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες, ὅπως δὲ εἰδῶ μάλιστα, ὁποῖός τις ἐστὶ τὴν ὄψιν; ΔΙΟΓ. Γέρων φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἄπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον. γελᾷ δ' ἀεὶ, καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει. ΠΟΛ. Ῥᾴδιον εὑρεῖν ἀπὸ γε τούτων. ΔΙΟΓ. Βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλοσόφους; ΠΟΛ. Λέγε, ἐπεὶ βαρὺ γοῦν οὐδὲ τοῦτο. ΔΙΟΓ. Τὸ μὲν ὅλον, παύσασθαι αὐτοῖς παρεγγύα λήρους, καὶ ὡς περὶ τῶν ὅλων ἐρίζουσι, καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ προκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρωτᾶν διδάσκουσι τοὺς νέους. ΠΟΛ. Ἀλλ' ἐμοὶ ἀμαθεῖ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγορήσαντα τῆς σοφίας αὐτῶν. ΔΙΟΓ. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε. ΠΟΛ. Καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ. ΔΙΟΓ. Τοῖς πλουσίοις δὲ, ὦ φίλτατον Πολυδεύκιον.

ἀπάγγελε

ἀπάγγελε ταῦτα παρ' ἡμῶν, τί, ὦ μάταιοι, τ' χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτὰς λογιζόμενοι τὰς τόκους, κ τάλαντα ἐπὶ ταλάντοις σωτιθέντες, ὅς χρὴ ἕνα ὄβολον ἔχοντας ἦκεν μετ' ὀλίγον; ΠΟΛ. Εἰρήσεται κ ταῦτα πρὰς ἐκείνους. ΔΙΟΓ. Ἀλλὰ κ τοῖς καλοῖς γε κ ἰχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ, κ Δαμαξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν ὅτε ἡ ξανθὴ κόμη, ὅτε τὰ χαροπὰ ἢ μέλανα ὄμματα, ἢ ἐρύθημα ἐπὶ τῷ προσώπῳ ἔτι ἐστὶν, ἢ νεῦρα εὔτονα, ἢ ὦμοι πλατεροί, ἀλλὰ πάντα μία ἡμῖν κόνις, φασὶ, πρανία γυμνὰ τῶ κάλλους. ΠΟΛ. Οὐ καλεπὸν ὁδὲ ταῦτα εἰπεῖν πρὸς τὰς καλὰς κ ἰχυράς. ΔΙΟΓ. Καὶ τοῖς πένησιν, ὦ Λάκων (πολλοὶ δ' εἰσὶ, κ ἀχθόμενοι τῷ πράγματι, κ οἰκλείροντες τὴν ἀπορίαν) λέγε μήτε θακρύειν, μήτ' οἰμώζειν, διηγησάμενος τὴν συταῦθα ἰσοτιμίαν, κ ὅτι ὄψονται τὰς ἐκεῖ πλουσίους ὁδὲν ἀμείνονας αὐτῶν. κ τοῖς Λακεδαιμονίοις δὲ τοῖς σοῖς ταῦτα, εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον, λέγων ἐκλελύσθαι αὐτάς. ΠΟΛ. Μηδὲν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε. ὁ γὰρ ἀνέξομαί γε. ἀ δὲ πρὸς τὰς ἄλλας ἔφηθα, ἀπαγγελῶ. ΔΙΟ. Ἐάσομεν τάυτας, ἐπεί σοι δοκεῖ. σὺ δὲ, οἷς προεῖπον, ἀπένεγκε παρ' ἐμοῦ τὰς λόγους.

ΔΙΑΛΟΓΟΣ θ'.

Πλάτων, ἢ κατὰ Μενίππ.

ΚΡΟΙΣ. Οὐ φέρομαι, ὦ Πλάτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα. ὥστε ἢ ἐκεῖνον ποῖ κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. ΠΛΟΥ.

τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν; ΚΡΟΙΣ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν ἐτοῖς τῷ χρυσίῳ, Σαρδανάπαλος δὲ τοῖς τρυφῆς, ἐγὼ δὲ τοῖς θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν. ἐνίοτε δὲ καὶ ᾄδων, ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς. καὶ ὅλως λυπηρός ἐστι. ΠΛΟΥ. Τί ταῦτά φασιν, ὦ Μένιππε; ΜΕΝ. Ἀληθῆ, ὦ Πλάτων, μισῶ γὰρ αὐτοὺς ἀγενεῖς, καὶ ὀλεθρίους ὄντας· οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, καὶ ἀφελέχονται τοῦ ἄνω. χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. ΠΛΟΥ. Ἀλλ' οὐ χρή. λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι. ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλάτων, ὁμόψηφος ὢν τοῖς τότων στεναγμοῖς. ΠΛΟΥ. Οὐδαμῶς, ἀλλ' ἴσως ἂν ἐθελήσαιμι συσιάζειν ὑμᾶς. ΜΕΝ. Καὶ μήν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσυρίων, ἴστω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου. ἔνθα γὰρ ἂν ἦτε, ἀκολουθήσω ἀνιῶν, καὶ κατᾴδων, καὶ καταγελῶν. ΚΡΟΙΣ. Ταῦτα οὐχ ὕβρις; ΜΕΝ. Οὐκ. ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ὑβρίζοντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. ΚΡΟΙ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων. ΜΙΔ. Ὅσα μὲν ἐγὼ χρυσοῦ; ΣΑΡ. Ὅσης δ' ἐγὼ τρυφῆς; ΜΕΝ. Εὖγε, ἴστω ποιεῖτε. ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ, τὸ γνῶθι σαυτὸν πολλάκις σωτήριον ἐπάσομαι ὑμῖν. πρέπει γὰρ ἐν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾴδομεν.

ΔΙΑΛΟ-

ΔΙΑΛΟΓΟΣ ι'.

Μενίππε, Ἀμφιλόχε, καὶ Τροφωνίε.

ΜΕΝ. Σοφὼ μάλ' τοι, ὦ Τροφώνιε, καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες, οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε, καὶ οἱ μάταιοι τ' ἀνθρώπων θεὺς ὑμᾶς ὑπολήφασιν εἶναι. ΤΡΟΦ. Τί δ' ἂν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσι; ΜΕΝ. Ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες, καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε ὡς τὰ μέλλοντα προφδότες, καὶ προφητεῖν δυνάμενοι τοῖς ἐρομένοις. ΤΡΟΦ. Ὦ Μένιππε, Ἀμφίλοχος μὲν ὅστις ἂν εἰδείη, ὅτι αὐτῷ ἀποχρητέον ὑπὲρ αὐτοῦ. ἐγὼ δὲ ἥρως εἰμὶ, ἐς μαντεύομαι, ἤν τις κατέλθοι παρ' ἐμέ. σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τὸ παράπαν, οὐδ' ἠπίστῃς σὺ τούτοις. ΜΕΝ. Τί φῄς; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσαλμῶ ταῖς ὀθόναις, γελοίως μάζαν ἐν ταῖν χεροῖν ἔχων, ἐσερπύσω ἀφ' ὅ τι σωμίον ταπεινὸν ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἐδεισάμην εἰδέναι ὅτι νεκρὸς εἶ, ὥσπερ ἡμεῖς, μόνῃ τῇ γοητείᾳ ἀποφέρων. Ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δὲ ὁ ἥρως ἐστιν; ἀγνοῶ γάρ. ΤΡΟ. Ἐξ ἀνθρώπου τι καὶ θεοῦ σύνθετον. ΜΕΝ. Ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε θεὸς, καὶ συναμφότερόν ἐστι; νῦν ἔγωγε τὸ θεῖον ἐκεῖνο ἡμίτομον ἀπελήλυθε; ΤΡΟ. Χρᾷ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ. ΜΕΝ. Οὐκ οἶδα, ὦ Τροφώνιε, ὅ, τι ἐς λέγεις. ὅτι μέντοι ὅλος εἶ νεκρὸς, ἀκριβῶς ὁρῶ.

ΔΙΑ-

ΔΙΑΛΟΓΟΣ ια'.

Ἑρμῆς & Χάρων.

ΕΡΜ. Λογισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλῃς ἤδη, ἵνα μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. ΧΑΡ. Λογισώμεθα, ὦ Ἑρμῆ. ἄμφνον γὰρ ὠρίσαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. ΕΡΜ. Ἀγκυραν ἐπτάλαντον ἐκόμισα πέντε δραχμῶν. ΧΑΡ. Πολλὰ λέγῃς. ΕΡΜ. Νὴ τὸν Αἰδανέα τὰ πέντε ὠνησάμην, καὶ πρεσβυτῆρα δύο ὀβολῶν. ΧΑΡ. Τίθει πέντε δραχμὰς, καὶ ὀβολὸς δύο. ΕΡΜ. Καὶ ἀκέστραν ὑπὲρ ἕξιν πέντε ὀβολὸς ἐγὼ κατέβαλον. ΧΑΡ. Καὶ τοῦτος προσίθει. ΕΡΜ. Καὶ κηρὸν, ὡς ἐπιπλάσαι τὰ σκαφίδια τὰ ἀνεωγότα, καὶ ἥλως δὲ, καὶ καλώδιον, ἀφ' ὧν τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα. ΧΑΡ. Εὖγε, ἄξια ταῦτα ὠνήσω. ΕΡΜ. Ταῦτά ἐστιν, εἰ μήτι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ· ποτὲ δὴ ἓν ταῦτ' ἀποδώσῃ φής; ΧΑΡ. Νῦν μὲν, ὦ Ἑρμῆ, ἀδύνατον. ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς, ἐνέσται τότε ἀποκερδάναι ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμία. ΕΡΜ. Νῦν ἔν ἐγὼ καθεύδωμαι, τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύσιμι. ΧΑΡ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. νῦν δὴ ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ. ΕΡΜ. Ἄμφνον ἔτως, εἰ μὴ ἡμῖν παρατείνοιτο ὑπό σου τὸ ὄφλημα. πλὴν ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρον, οἷα εἶοι παρεγίνοντο ἀνδρεῖοι ἅπαντες, αἵματος ἀναπλεω, καὶ τραυμάτιαι οἱ πολλοί· νῦν δ' ἢ φαρμάκῳ τις ὑπὸ

ἢ παιδὸς ἀποθανόντος, ἢ ὑπὸ τῆ γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξωθηκῶς τὴν γαστέρα, καὶ τὰ σκέλη, ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγενεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν ἀφ' χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. ΧΑΡ. Πάνυ γὰρ φιλοπόνητά ἐστι ταῦτα. ΕΡΜ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν. πικρῶς ἀπαιτῶν τὰ ὀφλόμενα παρὰ σοῦ.

ΔΙΑΛΟΓΟΣ ιϛ'.

Πλάτωνος καὶ Ἑρμοῦ.

ΠΛΟΥ. ΤΟΝ γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλέσιον Εὐκράτους, ᾧ παῖδες μὲν οὐκ εἰσιν, οἱ δὲ κληρονόμοι θηρῶντες πενταχισμύριοι. ΕΡΜ. Ναὶ, τὸν Σικυώνιον φῆς· τί οὖν; ΠΛΟΥ. Ἐκεῖνον μέν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἰ γε οἷόν τε ἦν, καὶ ἔτι πλείω· τοὺς δέ γε κόλακας αὐτοῦ, Χαρῖνον τὸν νέον καὶ Δάμωνα, καὶ τοὺς ἄλλους καταύσπασον ἐφεξῆς ἅπαντας. ΕΡΜ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον. ΠΛΟΥ. Οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον· τί γὰρ ἐκεῖνοι παθόντες, εὔχονται ἀποθανεῖν ἐκεῖνον; ἢ τῶν χρημάτων ἀντιποιοῦνται, οὐδὲν προσήκοντες; ὁ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ· καὶ νοσοῦντος, ἂν μὲν βουλεύωνται, πᾶσι προθήλατα, θύσφι δὲ ὅμως ἐπιχωροῦνται ἢν ῥαίσῃ· καὶ ὅλως, ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν· ἀφ' ταῦτα ὁ μὲν ἔξω ἀθάνατος, οἱ δὲ προαπίτωσαν αὐτοῦ μάτην ἐπιχαλῶντες. ΕΡΜ. Γελοῖα πείσονται, παῦροι ὄντες· πολλοὶ κακεῖνος εὖ μάλα ἀφ-

βεκολεῖ αὐτὰς, καὶ ἐπελπίζει. καὶ ὅλως, ἀεὶ θανόντι ἐοικὼς, ἔρρωται πολὺ μᾶλλον τῶν νεῶν. οἱ δὲ ἤδη τὸν κλῆρον εὖ σφίσι διηρημένοι βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες.

ΠΛ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας ὥσπερ Ἰόλεως, ἀνηδόνησάτω. οἷδ' ἀπὸ μέσων τῶν ἐλπίδων, τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες, ἠκέτωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες. ΕΡΜ. Ἀμέλησον, ὦ Πλάτων, μετελεύσομαι γάρ σοι ἤδη αὐτὰς καθ' ἕνα ἐξῆς. ἐπὰν δὲ οἶμαι εἶσι. ΠΛ. Κατάσπα. ὁ δὲ παραπέμψας ἕκαστον, ἀντὶ γέροντος αὖθις ἔφηβος γενόμενος.

ΔΙΑΛΟΓΟΣ ιγ'.

Τερψίωνος καὶ Πλάτωνος.

ΤΕΡ. Τοῦτο, ὦ Πλάτων, δίκαιον, ἐμὲ μὲν τεθνάναι τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἑνενήκοντα γέροντα Θέκριτον ζῆν ἔτι; ΠΛ. Δικαιότατον μὲν οὖν, ὦ Τερψίων, εἴ γε ὁ μὲν ζῶν, μηδένα εὐχόμενος ἀποθανεῖν τῶν φίλων. σὺ δὲ, παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ, ἁρπάζων τὸν κλῆρον. ΤΕΡ. Οὐ γὰρ ἐχρῆν γέροντα ὄντα, καὶ μηκέτι χρήσασθαι τῷ πλούτῳ αὐτὸν δωρούμενον, ἀπελθεῖν ἐκ βίου, παραχωρήσαντα τοῖς νέοις; ΠΛ. Καινὰ, ὦ Τερψίων, νομοθετεῖς. τὸν μηκέτι τῷ πλούτῳ χρήσασθαι δωρούμενον πρὸς ἡδονὴν, ἀποθνήσκειν. τὸ δὲ ἄπαν μοῖρα γὰρ καὶ ἡ φύσις διέταξεν. ΤΕΡ. Οὐκοῦν ταύτην αἰτιῶμαι τὴν ἀταξίαν, ἐχρῆν γὰρ τὸ πρᾶγμα ἐξῆς πως γίνεσθαι, τὸν πρεσβύτερον, πρότερον, καὶ μὴ τοῦτον, ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτόν·

αὐτόν· ἀναστρέφεται δὲ μηδαμῶς, μηδὲ ζῆν μὴ τὸ ὑπέργηρων, ὀδόντας τρεῖς ἔτι λοιπὸς ἔχοντα, μόγις ὀρθῶντα, οἰκέταις τετράσιν ἐπικεκυφότα, κορύζης μὲν τὴν ῥῖνα, λήμης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, ὀδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνήσκειν δὲ καλίστης καὶ ἐρρωμενεστάτης νεανίσκης. ἄνω γοῦν τοταμοῦ τοῦτό γε. ἢ τὸ τελευταῖον εἰδέναι ἐμοῦ, ποτε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν σοὶ ἐβεράπευον. νῦν δὲ τὸ τῆς παροιμίας, Ἡ ἅμαξα τοῦ βοὸς πολλάκις σοὶ φέρει. ΠΛΟΥ. Ταῦτα μέν, ὦ Τερψίων, πολὺ σωφρονέστερα γίνεται, ἢπερ σοὶ δοκεῖ. καὶ ὑμεῖς δέ τι παθόντες, ἀλλοτρίοις ἐπιχαίρετε, καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε, φέροντες αὐτοῖς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε, πρὸς ἐκείνων καταρυτιόμενοι. τὸ καὶ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίνεται. ὅσῳ γοῦν ὑμεῖς ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ προαποθανεῖν ὑμᾶς αὐτῶν. καινήν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε γραιῶν καὶ γερόντων ἐρῶντες, καὶ μάλιστα, εἰ ἄτεκνοι εἶεν· οἱ δὲ ἔντεκνοι, ὑμῖν ἀνέρασοι. καίτοι πολλοὶ ἤδη τῶν ἐρωμένων σωφρονοῦντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐρασταὶ ἔχωσιν. εἶτα ἐν ταῖς ἀγαθήκαις, ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες, ὁ δὲ παῖς, καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων· οἱ δὲ, ὑποπρίουσι τοὺς ὀδόντας, ἀπομυγέντες. ΤΕΡΨΙΩΝ. Ἀληθῆ ταῦτα φῄς. ἐμοὶ γοῦν Θόκριτος πόσα κατέφαγεν, ἀεὶ τεθνήξεσθαι δοκῶν; καὶ ὁπότε ἐστιώμην, ὑποστένων, καὶ φυχίον τι καθάπερ ἐξ

ὧν

ὡς νεοτλὸς ἀτελὴς ὑποκρούζων· ὡς ἔγωγε ὅσον αὐτίκα οἰόμ@ ἐπιδῆσθ αὐτὸν τ σορῷ, ἔπεμπόν τε πολλὰ, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντιρασαὶ τῇ μεγαλοδορεᾷ. κ) τὰ πολλὰ ὑπὸ Φροντίδων ἄγρυπν@ ἐκείμην ἀριθμῶν ἔκασα, κ) ἀστατάτλαν. ταῦτα γᾶν μοι ἔ ἔ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία κ) Φροντίδες. ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν ἐφεξήκει θαπομένῳ πρώϊον ἐπιγελῶν.

ΠΛΟΥΤ. Εὖγε, ὦ Θάκρίτε, ζῷης ἐπιμήκισον, πλουτῶν ἅμα, κ) τοιούτων καταγελῶν, μὴ ἦ πρότερον γε σὺ ἀποθάνοις, ἢ πρεπέμψῃς πάντας τοὺς κόλακας. ΤΕΡ. Τοῦτο μέν, ὦ Πλοῦτων, κ) ἐμοὶ ἥδιστον ἤδη, εἰ κ) Χαριάδης προτεθνήξεται Θακρίτυ. ΠΛΟΥΤ. Θαῤῥεῖ, ὦ Τερψίων. κ) Φειδων γὰ κ) Μέλαιθ@, κ) ὅλως ἅπαντες, προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς Φροντίσιν. ΤΕΡ. Ἐπαινῶ ταῦτα. ζῴης ἐπιμήκιστον, ὦ Θάκριτε.

ΔΙΑΛΟΓΟΣ. ιθ'.

Ζηνοφάντυ κ) Καλλιδημίδυ.

ΖΗΝ. Σὺ δὲ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲ γὰ, ὅτι παράσιτ@ ὢν Δφνίᾳ, πλέον ἢ ἱκανῶς ἐμφαγὼν, ἀπεπίγλω, οἶσθα. παρῆς γὰρ ὑποδυήσκοντί μοι. ΚΑΛ. Παρῆν, ὦ Ζηνόφαντες. τὸ δὲ ἐμὸν, παράδοξόν τι ἐγένετο. οἶσθα γὰ κ) σύ πᾳ Πτοιόδωρον τ γέροντα. ΖΗΝ. Τον ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾄδειν συνόντα; ΚΑΛ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπιόχνῳμ@ ἐπ' ἐμοὶ τῷ κληρονόμῳ τελυτήξειν· ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς

μῆκιστον

μήκιστον ἐπεγένετο, κ) ὑπὲρ τ Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμβ ⊙ γὰρ φάρμακον, ἀνέπεισα τ οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρ ⊙ αἰτήσῃ πιεῖν (πίνει δ' ἐπιμελῶς) ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ κ) ἐπιδοῦναι αὐτῷ. εἰ δὲ τοῦτο ποιήσῃ, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. ΖΗΝ. Τί ἂν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. ΚΑΛ. Ἐπεὶ τοίνυν λαβόμενοι ἤκομεν, δύο ἤδη ὁ μάγκιστρ ⊙ κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν. εἶτα ὁ μὲν ἔπινεν. ἐγὼ δὲ αὐτίκα μάλα σπασάμενος σκείμην, ὑποβολιμαῖ ⊙ ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς, ὦ Ζηνόφαντες; κ) μὴν ἐκ βαθέος γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾷν. ΖΗΝ. Ἀσεῖα γὰρ, ὦ Καλλιδημίδη, πέπονθας. ὁ γέρων δὲ τι πρὸς ταῦτα; ΚΑΛ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον. εἶτα σωυεὶς, οἶμαι, τὸ γεγενημένον, ἐγέλα κ) αὐτὸς, οἷα γε ὁ οἰνοχό ⊙ εἰργασαι. ΖΗΝ. Πλὴν ἀλλ' ἐδέ σε τὴν ὁδὸν ἐπίτομον ἐχρῆν τραπέσθαι, ἦκε γὰρ ἄν σοι μᾶλλ τ λεωφόρε ἀσφαλέστερον, εἰ κ) ὀλίγῳ βραδύτερ ⊙ ἦν.

ΔΙΑΛΟΓΟΣ ιε'.

Κυήμωνος καὶ Δαμοίππου.

ΚΝΗ. Τοῦτο ἐκεῖνο τὸ παροιμίας, Ὁ νεβρὸς τὸν λέοντα. ΔΑ. Τί ἀγανακτεῖς, ὦ Κνήμων; ΚΝΗ. Πυνθάνῃ ὅ, τι ἀγανακτῶ; κληρονόμων ἀκόσιος κατα-
λέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, ὃς ἐβουλόμην ἂν μάλιστα ἔχειν τἀμὰ, παραλιπών. ΔΑΜ. Πῶς τοῦτ' ἐγένετο; ΚΝΗ. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα, ἐβεράπευον ἐπὶ θανάτῳ· κἀκεῖνος ἐμοὶ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε. ΔΑΜ. Τί οὖν δὴ ἐκεῖνος; ΚΝΗΜ. Ὅ, τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις, οὐκ οἶδα. ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος, καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπερ τις λάβραξ. καὶ τὸ ἄγκυστρον τῷ ὀφελάτι συγκαταπάσας. ΔΑΜ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα. ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. ΚΝΗ. Ἔοικα. οἰμώζω τοιγαροῦν.

ΔΙΑΛΟΓΟΣ ις'.

Χάρωνος καὶ Ἑρμοῦ.

ΧΑΡ. Ἄκουσατε ὡς ἔχω ὑμῖν τὰ πράγ-
ματα. μικρὸν ὑμῖν, ὡς ὁρᾶτε, τὸ

τὸ σκαφίδιον, καὶ ὑποσαθρόν ἐστι, καὶ ἀφαρρεῖ τὰ πολλά. κἂν ἡμῖν τραπῇ ἐπὶ θάτερα, σχήσεται περιτραπέν. ὑμεῖς δὲ τοσοῦτοι ἅμα ἥκετε, πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν δὲ μὴ τάχιον ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσετε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε. ΝΕΚΡΟΙ. Πῶς δ' ἂν ποιήσαντες εὐπλοήσομεν; ΧΑΡΩΝ. Ἐγὼ ὑμῖν φράσω. γυμνοὺς ἐπιβαίνειν χρὴ, τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠιόνος καταλιπόντας. μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δὲ, ὦ Ἑρμῆ, μελήσει τὸ λοιπὸν τοῦτο μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ, καὶ τὰ ἐπίπλοα, ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑξῆς, ἀφαγίνωσκε αὐτοὺς, καὶ ἀναλάμβανε, γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων. ΕΡΜ. Εὖ λέγεις. καὶ οὕτω ποιήσομεν. καὶ οὗτοσὶ τίς ὁ πρῶτός ἐστι; ΜΕΝΙΠ. Μένιππος ἔγωγε. ἀλλ' ἰδοὺ ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον, ἐς τὴν λίμνην ἀπορίφθη, τὸν τρίβωνα δὲ ἐκόμισα, εὖ ποιῶν. ΕΡΜ. Ἐμβαινε, ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν ἔχε παρὰ τὸν κυβερνήτην ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. ὁ καλὸς οὗτος τίς ἐστι; ΧΑΡ. Χαριμόλεως ὁ Μεγαρικὸς ἐπέρας, ὃ τὸ φίλημα διτάλαντον ἦν. ΕΡΜ. Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος, καὶ τὰ χείλη αὐτοῖς φιλήμασι, καὶ τὴν κόμην τὴν βαθεῖαν, καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα, καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς. εὔζωνος εἶ, ἐπίβαινε ἤδη. ὁ δὲ τὴν πορφυρίδα οὗτοσί, καὶ τὸ ἀφόδημα, ὁ βλοσυρὸς, τίς ἂν εἴης; ΛΑΜ. Λάμπιχος, Γελῴων τύραννος.

ΕΡΜ.

ΕΡ. Τί ἦν, ὦ Λάμπιχε, τοσαῦτα ἔχων πάρῃ; ΛΑ. Τί ἦν ἐχρῆν, ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄνδρα; ΕΡ. Τύραννον μὲν εὐδαιμῶς, νεκρὸν δὲ μάλα. ὥστε ἀπόθου ταῦτα. ΛΑ. Ἰδοὺ σοι ὁ πλοῦτος ἀπέρριπται. ΕΡ. Καὶ τὸ τύφον ἀπόρριψον, ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν. βαρύσῃ γὰρ τὸ πορθμεῖον σωρευόμενα. ΛΑ. Οὐκοῦν, ἀλλὰ τὸ ἀφόβημα ἔασόν με ἔχειν, καὶ τὴν ἐφεδρίδα. ΕΡ. Οὐδαμῶς, ἀλλὰ καὶ ταῦτα ἄφες. ΛΑ. Εἶεν. Τί ἔτι; πάντα γὰρ ἀφῆκα, ὡς ὁρᾷς. ΕΡ. Καὶ τὴν ὠμότητα, καὶ τὴν ἄνοιαν, καὶ τὴν ὕβριν, καὶ τὴν ὀργήν, καὶ ταῦτα ἄφες. ΛΑΜ. Ἰδοὺ σοι, ψιλός εἰμι. ΕΡ. Ἐμβαινε ἤδη. σὺ δὲ ὁ παχὺς ὁ πολύσαρκος, τίς εἶ; ΔΑΜ. Δαμασίας ἀθλητής. ΕΡ. Ναὶ ἔοικας. οἶδα γὰρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών. ΔΑ. Ναὶ, ὦ Ἑρμῆ. ἀλλὰ παράδεξαί μὲ γυμνὸν ὄντα. ΕΡ. Οὐ γυμνόν, ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον, ὥστε ἀπόδυθι αὐτὰς, ἐπεὶ καταδύσῃ τὸ σκάφος, τὸ ἕτερον πόδα ὑπερθεὶς μόνον. ἀλλὰ καὶ τὰς στεφάνους ταύτας ἀπόρριψον, καὶ τὰ κηρύγματα. ΔΑ. ἰδοὺ σοι γυμνὸς, ὡς ὁρᾷς, ἀληθῶς εἰμι, καὶ ἰσοσάσιος τοῖς ἄλλοις νεκροῖς. ΕΡ. Οὕτως ἄμεινον ἀβαρῆ εἶναι, ὥστε ἐμβαινε. σὺ δὲ τὸ πλοῦτον ἀπόθεμαι, ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι, καὶ τὴν τρυφὴν, μηδὲ τὰ σὐτάφια κόμιζε, μηδὲ τὰ τῶν προγόνων ἀξιώματα. κατάλιπε δὲ καὶ γένος, καὶ δόξαν, καὶ εἴποτέ σε ἡ πόλις ἀνεκήρυξεν εὐεργέτην δηλονότι, καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφὰς, μηδὲ ὅτι μέγαν τάφον ἐπί σοι ἔχωσαν λέγε. βαρύσῃ γὰρ καὶ ταῦτα μνημονευόμενα. ΚΡΑ. Οὐκ ἐκὼν μέν, ἀπορρίψω δέ. τί γὰρ ἄν καὶ πάθοιμι; ΕΡ. Βαδαί. σὺ δὲ ὁ ἔνοπλος, τί βέλῃ;

βάλῃ; ἢ τί τὸ τρόπαιον τοῦτο φέρῃς; ΚΡΑ. Ὅτι νίκησα, ὦ Ἑρμῆ, καὶ ἡρέισθυσα, καὶ ἡ πόλις ἐτίμησέ με. ΕΡ. Ἆρες σὺ γῆ τὸ τρόπαιον. σὺ δὲ δὸς καὶ εἰρήνη, καὶ ὁδὸν ὅπλων δείσῃ. ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος, καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκὼς ὁ ἐπὶ τοῦ φροντίδων, τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος; ΜΕΝ. Φιλόσοφός τις, ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης, καὶ τερατείας μεστὸς· ὥστε λάβὲ τοῦτον καὶ τοῦτον, ὄψῃ γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ κρυπτόμενα. ΕΡ. Κατάθες σὺ τὸ σχῆμα πρῶτον, εἶτα καὶ ταῦτα πάντα. ὦ Ζεῦ, ὅσῳ μὲν τὴν ἀλαζονίαν νομίζῃ, ὅσῳ δὲ ἀμαθείαν, καὶ ἔριν, καὶ κενοδοξίαν, καὶ ἐρωτήσεις ἀπόρους, καὶ λόγους ἀκαταθέτους, καὶ συνοίας πολυπλόκους; ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολλὴν, καὶ λῆρον οὐκ ὀλίγον, καὶ ὕθλους, καὶ μικρολογίαν, νὴ Δία, καὶ χρυσίον γε τυτί, καὶ ἡδυπάθειαν δὲ, καὶ ἀναισχυντίαν, καὶ ὀργὴν, καὶ τρυφὴν, καὶ μαλακίαν. ἐ λέληθε γάρ με, εἰ καὶ μάλα εἰκρύπτῃς αὐτά. καὶ τὸ ψεῦδος δὲ ἀπόθες, καὶ τὸν τύφον, καὶ τὸ οἴεσθαί σε ἀμείνονα εἶναι τῶν ἄλλων· ὡς εἴγε πάντα ταῦτα ἔχων ἐμβαίνοις, ποία πεντηκόντορος δέξαιτο ἄν σε; ΦΙΛ. Ἀποτίθεμαι τοίνυν αὐτὰ, ἐπείπερ ὕτω κελεύεις; ΜΕ. Ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀπόθου, ὦ Ἑρμῆ, βαρύν τε ὄντα, καὶ λάσιον, ὡς ὁρᾷς. πέντε μνῶν τρίχες εἰσὶ τὰλάχιστον. ΕΡ. Εὖ λέγεις. ἀπόθες καὶ τοῦτον. ΦΙΛ. Καὶ τίς ὁ ἀπκείρων ἔσαι; ΕΡ. Μένιππος ὅτοσί, λαβὼν πέλεκυν τῶν ναυπηγικῶν, ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀναβάθρᾳ χρησάμενος. ΜΕ. ὄκ, ὦ Ἑρμῆ, ἀλλὰ πρίονά μοι ἀνάδος, γελοιότερον γὰρ τοῦτο. ΕΡ. ὁ πέλεκυς ἱκανός. ΜΕΝ. Εὖγε, ἀνθρωπινώτερον

πινώτερον ἢ νῦν ἀναπέφηνας, ἀποθέμενος αὐτῆς τὴν κινάδεραν. βάλῃ μικρὸν ἀφέλωμαι καὶ τῆς ὀφρύων; ΕΡΜ. Μάλιστα. ὑπὲρ τὸ μέτωπον γὰρ ἐς ταῦτας ἐπῆρκεν, ὥστε οἶδ' ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα; καὶ πρὸς θάνατον ἀποθυμίας; ἔμβηθι δ' ἔν. ΜΕΝ. Ἔν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει. ΕΡΜ. Τί, ὦ Μένιππε; ΜΕΝ. Κολακίαν, ὦ Ἑρμῆ, πολλὰ ἐν τῷ βίῳ χρησιμεύσασαν αὐτῷ. ΦΙΛ. Οὐκοῦν, καὶ σὺ, ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν, καὶ παῤῥησίαν, καὶ τὸ ἄλυπον, καὶ τὸ γενναῖον, καὶ τὰ γέλωτα. μόνον γοῦν τὰ ἄλλων γελᾷς; ΕΡΜ. Μηδαμῶς. ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα, καὶ πρὸς τὰ κατάπλων χρήσιμα. καὶ ὁ ῥήτωρ ὁ σὺ, ἀπόθου τὰ ῥημάτων τὴν τοσαύτην ἀπειραντολογίαν, καὶ ἀντιθέσεις, καὶ παρισώσεις, καὶ περιόδους, καὶ βαρβαρισμοὺς, καὶ τἄλλα βάρη τὰ λόγων. ΡΗ. Ἦν, ἰδοὺ ἀποτίθεμαι. ΕΡΜ. Εὖ ἔχει. ὥστε λύε τὰς ἀπήγας. τὴν ἀποβάθραν ἀνελώμεθα. τὸ ἀγκύριον ἀνασπάσθω, πέτασον τὸ ἱστίον. εὔθυνε, ὦ πορθμεῦ, τὸ πεδάλιον. εὖ πάσασθε. τι οἰμώζετε, ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ, ὁ ἀρτίως τὰ πάγανα διδναμβῶν; ΦΙΛ. Ὅτι, ὦ Ἑρμῆ, ἀθάνατον ὠήλωτινι ψυχὴν ὑπάρχειν. ΜΕΝ. Ψεύδεται. ἄλλα γοῦν ἔοικε λυπεῖν αὐτόν. ΕΡΜ. Τὰ ποῖα; ΜΕΝ. Ὅτι μηκέτι δαπάνης πολυτελοῦς δεῖπνα, μηδὲ νύκλωρ ἐξιὼν, ἅπαντας λανθάνων, τῷ ἱματίῳ τὴν κεφαλὴν κατάλήσας, περίσσιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα. καὶ ἔωθεν ἐξαπατῶν τὰς νέας ἐπὶ τῇ σοφίᾳ, ἀργύριον λήψεται. ταῦτα λυπεῖ αὐτόν. ΦΙΛ. Σὺ δὲ, ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών; ΜΕΝ. Πῶς,

ὃς

ὃς ἔσπευσα ἐπὶ τ᾽ θάνατον, καλέσαντος μηδενός; ἀλλὰ μεταξύ λόγων, ὑ κραυγή τις ἀκούει, ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων; ΕΡ. Ναὶ, ὦ Μένιππε. ὐκ ἀφ᾽ ἑνός γε χώρυ, ἀλλ᾽ οἱ μὲ ἐς τὴν ἐκκλησίαν συνελθόντες, ἄσμενοι γελῶσι πάντες ἐπὶ τῳ Λαμπίχυ θανάτῳ, ἡ γυνὴ αὐτῦ συνέχει πρὸς τῶν γυναικῶν, καὶ τὰ παιδία νεογνὰ ὄντα, ὁμοίως κἀκεῖνα ἐπὸ τ᾽ παίδων βάλλει ἀφθόνοις τοῖς λίθοις. ἄλλοι δὲ Διόφαντον τ᾽ ῥήτορα ἐπαινῦσιν ἐν Σικυῶνι, ἐπιταφίυς λόγυς διεξιόντα ἐπὶ Κράτωνι τύτῳ. κ᾽ νὴ Δία γε, ἡ Δαμασίυ μήτηρ κακύυσα, ἐξάρχει τ᾽ θρήνυ σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ. σὲ δὲ ὐδεὶς, ὦ Μένιππε, δακρύει. καθ᾽ ἡσυχίαν δὲ κεῖσαι μόνος. ΜΕΝ. Οὐδαμῶς, ἀλλ᾽ ἀκύσῃ τῶν κυνῶν μετ᾽ ὀλίγον ὠρυομένων οἴκτιρον ἐπ᾽ ἐμοὶ, καὶ τ᾽ κοράκων τυπλομένων τοῖς πτεροῖς, ὁπότ᾽ ἂν συνελθόντες θάπτωσί με. ΕΡΜ. Γεννάδας εἶ, ὦ Μένιππε. ἀλλ᾽ ἐπεὶ κατεπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲ ἄπιτε πρὸς τὸ δικαστήριον, εὐθείαν ἐκείνω προϊόντες. ἐγὼ δὲ, κ᾽ ὁ πρωτεύς, ἄλλυς μεθελκυσόμεθα. ΜΕΝ. Εὐπλοεῖτε, ὦ Ἑρμῆ. προΐωμεν δὲ κ᾽ ἡμεῖς. τί ἔν ἔτι κ᾽ μέλλετε; δικασθῆναι δεήσει, κ᾽ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχὺς, καὶ γύπας, καὶ λίθυς. ἀχθήσεται δὲ ὁ ἑκάστυ βίος.

ΔΙΑΛΟΓΟΣ. ιζ᾽.

Κράτητ☉ κ᾽ Διογένης.

ΚΡΑΤ. Μοίριχον τ᾽ πλύσιον, ἐγίνωσκες, ὦ Διόγενες, τὸν πάνυ πλύσιον, τὸν ἐκ Κορίνθυ, τὸν τὰς πολλὰς

ολκάδας ἔχοντα, ὃ ἀνεψιὸς Ἀριστέας, πλέσι☉ κ☽ αὐτὸς ὤν, τὸ Ὁμηρικὸν ἐκεῖνο εἰώθῃ ἐπιλέγειν, Ἦ μὰ ἀνάφρ', ἢ ἐγώ σε. ΔΙΟΓ. Τίν☉ ἕνεκα, ὦ Κράτης, ἐθεράπευον ἀλλήλους; ΚΡΑ. Τῦ κλήρυ ἕνεκα ἑκάτερ☉, ἡλικιῶται ὄντες. κ☽ τὰς Ἀθήνας ἐς τὸ φανερὸν ἐτίθεντο. Ἀριστέαν μὲν ὁ Μοίριχ☉, εἰ προαποθάνοι, δεσπότιν ἀφιεὶς τ☉ ἑαυτῦ πάντων. Μοίριχον ὃ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτῦ. ταῦτα μὲν ἐγέγραπτο. οἱ δ' ἐθεράπευον ἀλλήλους, ὑπερβαλλόμενοι τῇ κολακείᾳ. κ☽ οἱ μάντεις, εἴτε ἀπὸ τ☉ ἄστρων τεκμαιρόμενοι τὸ μέλλον, εἴτε ἀπὸ τ☉ ὀνείρατων, ὡς γε Χαλδαίων παῖδες, ἀλλὰ κ☽ ὁ Πύθι☉ αὐτὸς, ἄρτι μὲν Ἀριστέᾳ παρεῖχε τὸ κράτ☉, ἄρτι δὲ Μοιρίχῳ. κ☽ τὰ τάλαντα, ποτὲ μὲν ἐπὶ τῦτον, νῦν δ' ἐπ' ἐκεῖνον ἔρρεπε. ΔΙΟΓ. Τί δ' ἂν πέρας ἐγένετο, ὦ Κράτης; ἀκῦσαι γὰρ ἄξιον. ΚΡΑ. Ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας, οἱ δὴ κλῆροι, ἐς Εὐνόμιον κ☽ Θρασυκλέα ἐξελήλυθον, ἄμφω συγγενεῖς ὄντας, ὧδε πώποτε προμαντευομένυς ὅτω γενέσθη ταῦτα. Ἁπλέοντες γὰρ ἀπὸ Σικυῶν☉ ἐς Κίρραν, κατὰ μέσον τ☉ πόρον πλαγίῳ ἐμπεσόντες τῷ Ἰάπυγι, ἀνετράπησαν. ΔΙΟΓ. Εὖ ἐποίησαν. ἡμεῖς δὲ, ὁπότε ἐν τῷ βίῳ ἥμῳ, ὧδέ τοι ἦτο ἐνενοεῖμεν ἐκ ἀλλήλων. ὅτε πώποτε ἐυξάμενο Ἀντισθένει ἀποθανεῖν, ὡς κληρονομήσαιμι τ☉ βακτηρίας αὐτῦ (εἶχεν δὲ πάνυ καρτερὰν ἐκ κοτίνυ ποιησάμεν☉) ἤτε οἶμαι σὺ, ὦ Κράτης, ἐπεθύμεις κληρονομεῖν ἀποθανόντ☉ ἐμῦ, τὰ κλήματα, κ☽ τ☉ πίθον, κ☽ τὴν πήραν, χοίνικας δύο θέρμων ἔχυσαν. ΚΡΑΤ. Οὐδὲν γάρ μοι τύτων ἔδει, ἀλλ' ὐδέ σοι, ὦ Διόγενες. ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένυς ἐκληρονόμησας, κ☽ ἐγὼ σῦ, πολλῷ μείζω κ☽ σεμνο-

σεμνότερα τ῀ Περσῶν ἀρχῆς. ΔΙΟΓ. Τίνα ταῦτα φῄς; ΚΡΑ. Σοφίαν, αὐταρκείαν, ἀλήθειαν, παῤῥησίαν, ἐλευθερίαν. ΔΙΟΓ. Νὴ Δία μεμνημαι, τῦτον ἀγαθὸν τὸν πλῦτον παρ' Ἀντισθένες, καί σοι ἔτι πλείω καταλιπών. ΚΡΑ. Ἀλλ' οἱ ἄλλοι ἠμέλων τ῀ τοιύτων κτημάτων, κ᾽ ὀλὶς ἐθεράπευν ἡμᾶς, κληρονομήσειν προσδοκῶν, ἐς δὲ τὸ χρυσίον πάντες ἔβλεπον. ΔΙΟΓ. Εἰκότως. ὃ γὰ εἶχον ἔνθα δεξαιντο τὰ τοιαῦτα παρ' ἡμῶν διεῤῥυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαθρὰ τ῀ βαλαντίων. ὥςε εἴποτε κ᾽ ἐμβάλλοι τις ἐς αὐτὸς ἢ σοφίαν, ἢ παῤῥησίαν, ἢ ἀλήθειαν, ἐξέπιπλεν εὐθὺς, κ᾽ διέῤῥει, ᾧ πυθμένας σέγειν ὀ δυνάμενος· οἷον τι πάσχυσιν αἱ ᾧ Δαναῦ αὗται παρθένοι, ἐς τ῀ τετρυπημένον πίθον ἐπαντλῦσαι, τὸ δὲ χρυσίον ὀδῦσι, κ᾽ ὀρύξι, κ᾽ πάσῃ μηχανῇ ἐφύλαττον. ΚΡΑ. Οὐκῦν ἡμεῖς μὴ ἔξομεν καὶ ταῦθα τ῀ πλῦτον. οἱ δὲ ὀβολὸν ἤξυσι κομίζοντες, κ᾽ τῦτον ἄχρι ᾧ πορθμέως.

ΔΙΑΛΟΓΟΣ ιη'.

Ἀλεξάνδρε, Ἀννίβε, Μίνωϊ, κ᾽ Σκιπίωνι.

ΑΛΕΞ. ΕΜΕ' δεῖ προκεκρῖσθαί σε, ὦ Λίβυ. ἀμείνων γὰρ εἰμι. ΑΝΝΙΒ. Οὔμμην, ἀλλ' ἐμέ. ΑΛΕΞ. Οὐκῦν ὁ Μίνως δικασάτω. ΜΙΝ. Τίνες δ' ἐστέ; ΑΛΕΞ. Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος, ἐγὼ δὲ Ἀλέξανδρος ὁ Φιλίππε. ΜΙΝ. Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. ἀλλὰ κ᾽ ὦδί τινος ὑμῖν ἡ ἔρις; ΑΛ. Περὶ προεδρίας. φησὶ γὰ ὅτος ἀμείναν γε-

γενῆαζ στρατηγὸς ἐμοῦ. ἐγὼ ζ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τοῦτο μόνον, ἀλλὰ πάντων χεῖρον τ πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια. ΜΙΝ. Οὐκοῦν σὺ μέρει ἑκάτερον εἰπάτω. σὺ δὴ πρῶτος ὁ Λίβυς λέγε. ΑΝΝΙΒ. Ἐν μοὶ τοῦτο, ὦ Μίνως, ὠνάμην, ὅτι συναῦδα κὴ τὴν ἑλλάδα φωνὴν ἐξέμαθον, ὥστε οὐδὲ ταύτῃ πλέον ἕτος συνέγκαιτό μου. φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες, ὅμως ἐπὶ μέγα προεχώρησαν, δι' αὐτῶν δυναμίν τε περιβαλόμενοι, κὴ ἄξιοι δόξαντες ἀρχῆς. ἐγὼ γοῦν μετ' ὀλίγων ἐξορμήσας ἐς τὴν Ἰβηρίαν, τὸ πρῶτον, ὑπαρχος ὢν τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην, ἄρισος κριθείς. κὴ τοὺς γε Κελτίβηρας εἷλον, κὴ Γαλατῶν κράτησα τ ἑσπερίων, κὴ τὰ μεγάλα ὄρη ὑπερβὰς, τὰ περὶ τ Ἠριδανὸν ἅπαντα κατέδραμον, κὴ ἀνασάτους ἐποίησα τοσαύτας πόλις, κὴ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην, καὶ μέχρι τ προαστείων τῆς πρεσβύσης πόλεως ἦλθον, κὴ τοσούτους ἀπέκλεισα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι, κὴ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. κὴ ταῦτα πάντα ἔπραξα, ἔτε Ἄμμωνος υἱὸς ὀνομαζόμην, ἔτε θεὸς εἶναι προσποιούμην, ἢ συύπνια τῆς μητρὸς διεξιών, ἀλλ' ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς σωφρονεστάτοις ἀντεξεταζόμην, κὴ στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμην. ὁ Μήδος κὴ Ἀρμένιος καταγωνιζόμην, ὑποφεύγοντας πρὶν διώκειν τινα, κὴ τῷ τολμήσαντι παραδιδόντας εὐθὺ τὴν νίκην. Ἀλέξανδρος δὲ, πατρῴαν ἀρχὴν παραλαβὼν, ηὔξησε, κὴ παραπολὺ ἐξέτεινε, χρησάμενος σῇ τ τύχης ὁρμῇ. ἐπεὶ δ' ἂν νίκησέ τε, κὴ τ ὅλεθρον σφῶν Δαρεῖον

Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις κρατήσεν, ἀπέστας τῆ πατρῴων, προσκυνεῖσθαι ἠξίου, καὶ δίαιταν τὴν Μηδικὴν μετεδιήτησεν ἑαυτὸν, καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους, καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπίσης τῆ πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο, τὴν πολεμίαν μεγάλῳ στόλῳ ἐπιπλουσάντων τῆς Λιβύης, ταχέως ὑπήκουσα, καὶ ἑαυτὸν παρέσχον. καὶ καταδικασθεὶς, ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. καὶ ταῦτ' ἔπραξα, βάρβαρος ὢν, καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς. καὶ ὅτε Ὅμηρον, ὥσπερ ὅτος, ἐρράψῳδουν. ὅτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθεὶς, μόνῃ δὴ τῇ φύσει ἀγαθῇ χρησάμενος. ταῦτα ἐστὶν, ἃ ἐγὼ Ἀλέξανδρε ἀμείνων φημὶ εἶναι, εἰ σοί ἔστι καλλίων ὑτοσὶ, διότι ῥαβδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνὰ, ἐμοὶ δὲ τοῦτ' ἀμείνων δόξειεν ἂν γενναίῳ, καὶ στρατηγικῷ ἀνδρὸς, τῇ γνώμῃ πλέον ἢπερ τῇ τύχῃ κεχρημένῳ. ΜΙΝ. Ὁ μὲν εἰρηκεν ἐκ ἀγεννῆ τὸν λόγον, ἐδ' ὡς λίθων εἰκὸς ἦν ὑπὲρ αὐτοῦ. σὺ δὲ, ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φῄς; Ἀ Λ. Ἔχρην μὲν, ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα ἕτω θρασύν· ἱκανὴ καὶ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεὺς, οἷος δὲ ὅτος λῃστὴς ἐγένετο, ὅμως δ' ὅρα εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα· ὃς νέος ὢν ἔτι, παρελθὼν ἐπὶ τὰ πράγματα, καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον, καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, καὶ φοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλείᾳ, στρατηγὸς ὑπ' αὐτῶν χροτονηθεὶς, καὶ ἐκ ἠξίωσα τὴν Μακεδόνων ἀρχὴν ἐθελέπων, ἀγαπᾷν ἀρχὴν ὁπόσων ὁ πατὴρ καλέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν, καὶ δῆνον ἡγησάμενος, εἰ μὴ πάντων κρατήσαιμι, ὀλίγους ἄγων ἐσέβαλον ἐς τὴν Ἀσίαν, καὶ ἐπὶ τε Γρανικῷ

κράτησα μεγάλῃ μάχῃ, καὶ τὴν Λυδίαν λαὸν, καὶ Ἰωνίαν, καὶ Φρυγίαν. καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος, ἦλθον ἐπὶ Ἰσσὸν, ἔνθα Δαρεῖος ὑπέμενε, μυριάδας πολλὰς στρατοῦ ἄγων. καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῶν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα, φησὶ γοῦν ὁ πορθμεύς, μὴ ἀφορμέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ χειρίας ἀφαπηξαμένους τοὺς πολλοὺς αὐτῶν ἀφαπλεῦσαι. καὶ ταῦτα δὲ ἔπραττον αὐτὸς προκινδυνεύων, καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοι μὴ τὰ ἐν Τύρῳ, μηδὲ τὰ ἐν Ἀραβίοις διηγήσωμαι, ἀλλὰ καὶ μέχρις Ἰνδῶν ἦλθον, καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς, καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον, καὶ Πῶρον ἐχειρωσάμην. καὶ Σκύθας δὲ, οὐκ εὐκαταφρονήτους ἄνδρας, ὑπερβὰς τὸν Τάναϊν, ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ. καὶ τοὺς φίλους εὖ ἐποίησα, καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι, παρὰ τὸ μέγεθος τῶν πραγμάτων, καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ. τὸ δὲ ἐν τελευταῖον, ἐγὼ μὲν βασιλεύων ἀπέθανον· σὺ δὲ ὑφ' ὑμῶν ἐν Φυγῇ ὢν παρὰ Πρυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν, πανουργότατον καὶ ὠμότατον ὄντα. ὡς γοῦν δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν, ὅτι οὐκ ἰσχύι, ἀλλὰ ποικιλίᾳ, καὶ ἀπιστίᾳ, καὶ δόλοις. νόμιμον δὲ, ἦ προφανές, οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφὴν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίησε τὴν Καπύην, ἑταίραις σιτῶν, καὶ τὸν μὲν πολέμου καιρὸν ὁ θαυμάσιος καθηδυπαθῶν. ἐγὼ δὲ, εἰ μὴ μικρὰ τὰ ἐσπέρια δόξας, ἐπὶ τὰ ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα; Ἰταλίαν ἀναιμωτὶ λαβὼν, καὶ Λιβύην, καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος. ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξε μοι ἐκεῖνα, ὑποπτήσσοντα ἤδη, καὶ δεσπότην ὁμολογοῦντα. εἰρήνα. σὺ δὲ, ὦ Μίνως,

ὦ Μίνως, δίκαζε. ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα. ΣΚΙ. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. ΜΙΝ. Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς; ΣΚΙ. Ἰταλιώτης Σκιπίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. ΜΙΝ. Τί δῆτα καὶ σὺ ἐρεῖς; ΣΚΙ. Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦδ' Ἀννίβου ἀμείνων· ὃς ἐδίωξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀτίμως. πῶς δῆτα οὗτος ἀναίσχυντος, ὃς πρὸς Ἀλέξανδρον ἀμιλλᾶται, ᾧ οὐδὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς αὐτὸν, παραβάλλεσθαι ἀξιῶ; ΜΙΝ. Νὴ Δί' εὐγνώμονα φῄς, ὦ Σκιπίων. ὥστε πρῶτος μὲν κεχρίσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ σύ. εἶτα, εἰ δοκεῖ, τρίτος Ἀννίβας, οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

ΔΙΑΛΟΓΟΣ ιθ'.

Διογένης καὶ Ἀλεξάνδρος.

ΔΙΟΓ. Τί τοῦτο, ὦ Ἀλεξανδρε, καὶ σὺ τέθνηκας ὥσπερ ἡμεῖς ἅπαντες; ΑΛΕΞ. Ὁρᾷς, ὦ Διογένες, ὃ παράδοξον ἦν, εἰ ἄνθρωπος ὢν, ἀπέθανον. ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτὸν σὲ εἶναι υἱόν, σὺ δὲ Φιλίππου ἄρα ἦσθα; ΑΛΕΞ. Φιλίππου δηλαδή. ὃ γὰρ ἂν ἐτεθνήκειν Ἀμμωνιος ὤν. ΔΙΟΓ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος τῆς μητέρος σου ὅμοια πολλὰ ἐλέγοντο. δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι σὺν τῇ εὐνῇ. εἶτα ὕστερον σε τεχθῆναι, τὸν δὲ Φίλιππον ἐξαπατηθῆναι οἰόμενον πατέρα σου εἶναι. ΑΛ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ. νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιές, οὔτε ἡ μήτηρ, οὔτε οἱ τὴν Ἀμμωνίαν προφῆται ἔλεγον. ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν σοὶ ἄχρηστόν σοι, ὦ Ἀλεξανδρε, πρὸς τὰ πράγματα

ἐγένετο· πολλοὶ γὰρ ὑπέπτηξαν, θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛ. Οὐκ οἶδα, ὦ Διόγενες. ὁ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Περδίκκᾳ τῷ δακτύλιον ἐπέδωκα. πλὴν ἀλλά τί γελᾷς, ὦ Διόγενες; ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε παρφληφότα τὴν ἀρχὴν κολακεύοντες, καὶ προσάτην αἱρούμενοι, καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους. ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προσιθέντες, καὶ νεὼς οἰκοδομούμενοι, καὶ θύοντες ὡς Δράκοντος υἱῷ· ἀλλ' εἰπέ μοι, πῶς σε οἱ Μακεδόνες ἔθαψαν; ΑΛΕΞ. Ἔτι μὲν Βαβυλῶνι κεῖμαι τρίτῳ ταύτῃ ἡμέραν. ὑπισχνεῖτο δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἣν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσὶν, ἐς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν. ΔΙΟΓ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν σὲ ἔτι νεκρὸν ὄντα, καὶ ἐλπίζοντα Ἄμμωνα, ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μὲν, ὦ θαυμασιώτατε, μὴ ἐλπίσῃς. ὁ γὰρ θεμὶς ἀνελθεῖν τινὰ τῶν ἄπαξ ἀπαλλαγέντων τοῦ λίμνου, καὶ ἐς τὸ εἴσω τοῦ σωμίου παρελθόντων. ὁ γὰρ ἀμελὴς ὁ Αἰακὸς, ὁδὸν ὁ Κέρβερος εὐκαταφρόνητον. ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρῃς ὁπότ' ὢν ἐννοήσῃς ὅσων εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, καὶ τὸ ἐπίσημον εἶναι ἐλαύνοντα, διαδημένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον· ἢ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ μάταιε; ἢ δὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἰεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς

τῆς τύχης; ΑΛΕΞ. Σοφὸς, ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπλότατος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὴ ἤτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστειλεν. ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θαυμάζω, καὶ ἐπαινῶ, ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸ πλεῖστον. καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο κἀγὼ αὐτὸς λαμβάνων. γόης, ὦ Διόγενες, ἄνθρωπος, καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε λευκοτέραν αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς, ἂν καταριθμήσωμαι μικρῷ γε ἔμπροσθεν. ΔΙΟΓ. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ἀποθήσομαι, ἐπεὶ συνταῦθά γε ἑλέβορος ὁ φύεις, σὺ δὲ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· οὕτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. ☞ γὰρ ☞ Κλεῖτον ὀκνεῖν ὁρῶ, ☞ Καλλισθένη, καὶ ἄλλους πολλοὺς ἐπὶ σε ὁρμῶντας, ὡς διεσπάσαντο, καὶ ἀμύναιντό σε ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτῃ βάδιζε. καὶ πῖνε πολλάκις, ὡς ἔφην.

ΔΙΑΛΟΓΟΣ κ'.

Ἀλεξάνδρου καὶ Φιλίππου.

ΦΙΛΙΠ. ΝΥΝ μὲν, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο, μὴ οὐκ ἐμοῦ υἱὸς εἶναι. σὺ γὰρ ἂν ἐτεθνήκεις, Ἀμμωνός γε ὤν. ΑΛΕΞ. Οὐδ' αὐτὸς ἠγνόουν, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱὸς εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. ΦΙΛΙΠ. Πῶς λέγεις; χρήσιμον ἐδόκεις σοι, τὸ παρέχειν

σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τ προφητῶν;
ΑΛΕΞ. Οὐ τᾶτο. ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, κὴ ἐδεὶς ἔτι ἀνθίστατο, οἱ ὅμοιοι θεῷ μάχεσθ. ὥστε ῥᾴδιον κράτειν αὐτῶν.
ΦΙΛ. Τίνων κράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ σωλωέχθης, τοξάρια κὴ πελτάρια, κὴ γέρρα οἰσυΐνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν, κὴ Φωκέων, κὴ Ἀθηναίων, κὴ τὸ Ἀρκάδων ὁπλιτικὸν, κὴ τὴν Θετταλὴν ἵππον, κὴ τὺς Ἠλείων ἀκοντιστὰς, κὴ τὸ Μαντινέων πελτασικόν. ἢ Θρᾷκας, ἢ Ἰλλυριὺς, ἢ κὴ Παίονας χφρώσασθ, ταῦτα μεγάλα. Μήδων ὄ, κὴ Περσῶν, κὴ Χαλδαίων, κὴ χρυσοφόρων ἀνθρώπων, κὴ ἀέρων, ἐκ οἶσθα ὡς πρὸ σᾶ μύριοι μ Κλεάρχ ἀνελθόντες, κράτησαν, ἐδ' εἰς χεῖρας ὑπομφάντων ἐλθεῖν κείνων, ἀλλὰ πρὶν ἢ τόξευμα ἐξικνεῖσθ, φυγόντων; ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, κὴ οἱ Ἰνδῶν ἐλέφαντες, ἐκ εὐκαταφρόνητόν τι ἔργον. κὴ ὅμως ὁ Δαρεῖος αὐτὺς, ἐδὲ προσδοσίαις ὠνούμ τὰς νίκας, κράτειν αὐτῶν. ἐδ' ἐπιώρκησα πώποτε, ἢ ὑποχόμ ἐψευσάμ, ἢ ἄπιστον ἔπραξά τι ᾧ νικᾶν ἔνεκα, κὴ τὺς Ἕλληνας ὄ, τὺς μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκόντς ὅπως μετῆλθον. ΦΙΛ. Οἶδα ταῦτα πάντα. Κλεῖτ γὰ ἀπήγγειλέ μοι, ὃν σὺ τᾷ δορατίῳ διελάσας μεταξὺ δόντα ἐφόνευσας, ὅτι με πρὺς τὰς σὰς πράξς ἐπαινέσαι ἐτόλμησε, σὺ δὲ κὴ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν, κάνδυν, ὡς φασι, μετενέδυς· κὴ τιάραν ὀρθὴν ἐπέθε, κὴ προσκυνεῖσθ ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν ἠξίους. ☞ τὸ πάντων γελοιότατον, ἐμίμ τὰ τ νενικημένων. ἐὼ γὰ λέγω ὅσα ἄλλα ἔπραξας, λέσυσι συγκατακλείων πεπαιδευμένης ἄνδρας

ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν, καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν. ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχε τῆς Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης. βασιλικὰ γὰρ ταῦτα. ΑΛΕΞ. Τὸ φιλοκίνδυνον δέ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθήλασας εἰς τὸ ἔπαλξιν τεῖχος, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι μὴ καλὸν εἶναι οἶμαι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα, καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ' ὅτι σοι τοιοῦτο ἦκισα συνέφερε. Θεὸς γὰρ εἶναι δοκῶν, εἴποτε τρωθείης, καὶ βλέπειν σε φοβοῖτο τὸ πολέμιον ἀκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσι. καὶ ὁ Ἄμμωνος γόης, καὶ ψευδόμαντις ἠλέγχετο, καὶ οἱ προφῆται, κόλακες. ἢ τίς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λιποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, σὺκ οἴῃ πολλοὺς εἶναι τοὺς τὴν προσποίησιν ἀκείνῳ ἐπικερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἀκλάδῳ κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα, κατὰ νόμον σωμάτων ἁπάντων; ἄλλως τε, καὶ τὸ χρήσιμον, ὃ ἔφης, Ἀλέξανδρε, τὸ ἀληθὲς τοῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῶν κατορθωμάτων. πᾶν γὰρ ἐδόκει συνδεὲς ὑπὸ θεοῦ γίνεσθαι δοκεῖν. ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ μὲν Διονύσῳ συνάμιλλον τιθέασί με. καί τοι τὴν Ἄορνον ἀκείνῳ ὑφ' ἑτέρου ἀκείνου λαβόντος, ἐγὼ μόνος ἐχφρωσάμην. ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτὸν, καὶ σὺκ αἰσχύνῃ, ὦ Ἀλέ-

ξανδρε, ὐδὲ τ τύφον ἀπομαθήσῃ, καὶ γνώσῃ σεαυτὸν, καὶ συνῇς ἤδη νεκρὸς ὤν;

ΔΙΑΛΟΓΟΣ κα΄.

Ἀχιλλέως ϗ Ἀντιλόχυ.

ΑΝΤΙΛ. Οἷα πρώην, Ἀχιλλεῦ, πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται ϖερὶ τ θανάτυ, ὡς ἀγεννῆ ϗ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε ϗ Φοίνικ; ἠκροώμην γ ὁπότε ἔφης βέλεσ ἐπάρυρ ὦν, ϑητεύειν ϖαρά τινι τῶν ἀκλήρων, ᾧ μὴ βίοτ πολὺς εἴη μᾶλλον, ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. ταῦτα μὲ ἦν ἀγεννῆ τινα Φρύγα ϑῆλυν, ϗ ϖέρα τ καλῶς ἐχοντ φιλόζωον ἴσως ἐχρῆν λέγειν. τὸν Πηλέως δὲ υἱὸν τ φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ ὕτω ϖερὶ αὐτ ϑρονοεῖσ, πολλὴ αἰσχύνη, ϗ ἐναντιότης πρὸς τὰ ϖεπραγμένα σοι ἐν τῷ βίῳ. ὃς ἐξὸν ἀκλέως ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλ τὸν μετ τ ἀγαθῆς δόξης θάνατον. ΑΧΙΛ. Ὦ ϖαῖ Νέσορ, ἀλλὰ τότε μὲν ἄπειρ ἔτι τῶν ἐνταῦθα ὤν, ϗ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν, τὸ δύσκλειον ἐκεῖνο δοξάριον ϖροετίμων τ βίυ. νῦν δὲ σωφρονίσθην ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελὴς, εἰ ϗ ὅ, τι μάλισα οἱ ἄνω ῥαψῳδήσυσι, μετ νεκρῶν δὲ ὁμοτιμία. καὶ ὅτε τὸ κάλλ ἐκεῖνο, ὦ Ἀντίλοχε, ὅτε ἡ ἰσχὺς πάρεσιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ ὁμοῖοι, καὶ κατ' ὀδὸν ἀλλήλων διαφέροντες. ϗ ὅτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με, ὅτε οἱ τῶν Ἀχαιῶν

Ἀχαιῶν θεραπεύσιν, ἰσηγορία δὲ ἀκριβὴς, καὶ νεκρὸς ὁμοῖος, ἡμῖν κακὸς, ἡδὲ καὶ ἐθελός. ταῦτά με ἀνιᾷ, καὶ ἄχθομαι, ὅτι μὴ θητεύω ζῶν. ΑΝΤΙΛ. Ὅμως τί ἂν ἄν τις πάθοι, ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας. ὥστε χρὴ ἐμμένειν τῷ νομῷ, καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις. ἄλλως τε, ὁρᾷς τὲ ἑταίρων ὅσοι ἅμα σοὶ, ἴσμεν οἵδε; μὴ μικρὸν δὲ καὶ Ὀδυσσεὺς ἀφίξεσθαι πάντας. φέρε δὲ παραμυθίαν καὶ ἡ κοινωνία τῶν πραγμάτων, καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. Ὁρᾷς τὸν Ἡρακλέα, καὶ τὸ Μελέαγρον, καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἱ οὐκ ἂν οἶμαι δόξαιντο ἀνελθεῖν, εἴτις αὐτοὺς ἀναπέμψειε θητεύσοντας ἀκλήροις καὶ ἀβίοις ἀνθράσιν. ΑΧΙΛ. Ἑταιρικὴ μὲν ἡ παραίνεσις. ἐμοὶ δὲ οὐκ οἶδ' ὅπως ἡ μνήμη τῶν παρὰ τὸν βίον ἀνιᾷ, οἶμαι δὲ καὶ ὑμῶν ἕκαστον. εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χεῖρας ἐστὲ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντες. ΑΝΤΙΛ. Οὐκ. ἀλλ' ἀμείνους, ὦ Ἀχιλλεῦ. τὸ γὰρ ἀνωφελὲς καὶ λέγειν ὁρῶμεν. σιωπᾷν γὰρ, καὶ φέρειν, καὶ ἀνέχεσθαι, δέδοται ἡμῖν, μὴ καὶ γέλωτα ὄφλωμεν, ὥσπερ σὺ, τοιαῦτα εὐχόμενοι.

ΔΙΑΛΟΓΟΣ κϛ'.

Μενίππυ καὶ Ταντάλυ.

ΜΕΝ. Τί κλαίεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ, ἐπὶ τῇ λίμνῃ ἑστώς; ΤΑΝ. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ δίψους. ΜΕΝ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, ἢ καὶ νὴ Δία ἀρυσάμενος κοίλῃ τῇ χειρί; ΤΑΝ. Οὐδὲν ὄφελος· εἰ ἐπικύψαιμι. φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἰσθηται

αἰσθηταί μου. ἢν δέποτε καὶ ἀρύσωμαι, καὶ προσενέγκω τῷ στόματι, ὁ φθάνων βρέξας ἄκρον τὸ χεῖλος, καὶ ἀφ' ὑδατίλων ἀφαρύσας, οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηραν τὴν χεῖρά μου. ΜΕΝ. Τεράσιόν τι πάσχεις, ὦ Τάνταλε, ἀτὰρ εἰπέ μοι, τί γὰρ δεῖ σε πιεῖν; ὁ γὰρ σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πρώην καὶ διψῆν ἐδύνατο. σὺ δὲ ἡ ψυχή, πῶς ἂν ἔτι ἡ διψώης, ἢ πίνοις; ΤΑΝ. Τοῦτ' αὐτό ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὴν ψυχὴν ὡς σῶμα ὄντων. ΜΕΝ. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ φὴς τῇ διψει κολάζεσθαι. τί δ' ἔστι σοι τὸ ὀδυνῶν ἔσαι; ἢ δεδίας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; ὁρῶ γὰρ ἄλλον μὴ τοῦτον ἄιδα, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. ΤΑΝ. Ὀρθῶς μὲ λέγεις. καὶ τοῦτο δ' ἔστι μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν, μηδὲν δεόμενον. ΜΕΝ. Ληρεῖς, ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτὲ δεῖσθαι δοκεῖς, ἀκράτου γε Ἑλλεβόρου νὴ Δία. ὅς τις τοὐναντίον τοῖς ὑπὸ τῆς λυπούντων κακῶν διεθηγμένοις πέπονθας, ὁ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. ΤΑΝ. Οὐδὲ τὸν Ἑλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον. ΜΕΝ. Θάρρει, ὦ Τάνταλε, εὖ ἴσθι ὡς ὅτε σὺ, ὅτε ἄλλος πίεσθαι τὸν νεκρῶν· ἀδύνατον γάρ. καίτοι ὁ πάντες ὥσπερ σὺ ἐν καταδίκης διψῶσι, καὶ ὕδατος αὐτοὺς ἐχομένους.

ΔΙΑΛΟΓΟΣ κγ'.

Μενίππου καὶ Αἰακοῦ.

ΜΕΝ. Πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακέ, διήγησαί μοι τὰ ἐν ᾅδου πάντα. ΑΙ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα. ὅσα μέμ τοι κεφαλαιώδη μάνθανε. ὅτοσι μέν, ὅτι Κέρβερός ἐστιν, οἶσθα· καὶ τὸ πορθμεῖα τοῦτον, ὃς σε διεπέρασε, καὶ τὴν λίμνην, καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών. ΜΕΝ. Οἶδα ταῦτα, καὶ σέ, ὅτι πυλωρεῖς, καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς. τοὺς δ' ἀνθρώπους μοι τοὺς παλαιοὺς δεῖξον, καὶ μάλιστα τοὺς ἐπισήμους αὐτῶν. ΑΙ. Οὗτος μέμ Ἀγαμέμνων, ὅτος δ' Ἀχιλλεύς, ὅτος δὲ Ἰδομενεὺς πλησίον. ἔπειτα Ὀδυσσεύς, εἶτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων. ΜΕΝ. Βαβαί, Ὁμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται, ἄγνωστα, καὶ ἄμορφα, κόνις πάντα, καὶ λῆρος πολύς, ἀμυδρὰ ὡς ἀληθῶς κάρηνα. ὅτος δή, ὦ Αἰακέ, τίς ἐστι; ΑΙ. Κῦρος ἐστιν. ὅτος δὲ Κροῖσος. ὁ δ' ὑπὲρ αὐτὸν, Σαρδανάπαλος. ὁ δ' ὑπὲρ τούτους, Μίδας. ἐκεῖνος δὲ, Ξέρξης. ΜΕΝ. Εἶτά σε, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε, ζυγνύντα μὲν τὸν Ἑλλήσποντον, ἅμα δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἵος δὲ καὶ ὁ Κροῖσός ἐστι; τὸν Σαρδανάπαλον, ὦ Αἰακέ, παταξαί μοι κατὰ κόρρης ἐπίτρεψον. ΑΙ. Μηδαμῶς, ἅμα θρύψῃς γὰρ αὐτοῦ τὸ κρανίον, γυναικεῖον ὄν. ΜΕΝΙΠ. Οὐκοῦν, ἀλλὰ προσπτύξομαί γε πάντως ἀνδρογύνῳ ὄντι. ΑΙΑΚ. Βούλει δέ σοι ἐπιδείξω καὶ τοὺς σοφούς; ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ.

ΑΙΑΚ. Πρῶτος ὅτος σοι ὁ Πυθαγόρας ἐστί. ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε, ἢ Ἄπολλον, ἢ ὅ, τι ἂν ἐθέλῃς. ΠΥΘ. Νὴ, καὶ σύ γε, ὦ Μένιππε. ΜΕΝ. Οὐκ ἔτι χρυσοῦς ὁ μηρός ἐστί σοι; ΠΥΘ. Οὐ γάρ. ἀλλὰ φέρε ἴδω, εἴ τι σοι ἐδώδιμον ἡ πήρα ἔχει. ΜΕΝ. Κυάμους, ὦ γαθέ. ὥστε καὶ τοῦτό σοι ἐδώδιμον. ΠΥΘ. Δὸς μόνον, ἄλλα παρὰ νεκροῖς δόγματα. ἔμαθον γὰρ ὡς ἐδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε. ΑΙΑΚ. Οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου, καὶ Θαλῆς ἐκεῖνος. καὶ παρ' αὐτοὺς, Πιτταικὸς, καὶ οἱ ἄλλοι. ἑπτὰ γὰ πάντες εἰσὶν, ὡς ὁρᾷς. ΜΕΝ. Ἄλυποι ὅτοι, ὦ Αἰακὲ, μόνοι, καὶ φαιδροὶ τῶν ἄλλων. ὁ δὲ σποδῷ πλέως, ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ ταῖς φλυκταίναις ὅλος ἐξιωθηκὼς, τίς ἐστιν; ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἠμιέφθος ἀπὸ τῆς Αἴτνης παρών. ΜΕΝ. Ὦ χαλκόπυε βέλτιστε, τί παθὼν σαυτὸν ἐς τὸς κρατῆρας ἐνέβαλες; ΕΜΠ. Μελαγχολία τις, ὦ Μένιππε. ΜΕΝ. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τύφος, ἢ πολλὴ κόρυζα. ταῦτά σε ἀπολωβάκωσεν αὐταῖς κρηπῖσιν οὐκ ἄξιον ὄντα, πλὴν ἀλλ' ἐδέν σε τὸ σόφισμα ὠφέλησεν. ἐφωράθης γὰρ τεθνεώς. ὁ Σωκράτης δέ, ὦ Αἰακὲ, πῦ ποτε ἆρά ἐστι; ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἶπε ἐνθάδε ἐστίν. ΑΙΑΚ. Ὁρᾷς τὸ φαλακρόν; ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν. ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα. ΑΙΑΚ. Τὸν σιμὸν λέγω. ΜΕΝ. Καὶ τοῦθ' ὁμοιον. σιμοὶ γὰ ἅπαντες. ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε; ΜΕΝ. Καὶ μάλα, ὦ Σώκρατες. ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις; ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσιν.

καὶ

καὶ τάγε χήματα αὐτὰ, καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι μάλα πολλοί, τὰ δ' ἄλλα ἑώρακας, οἶμαι, οἷος ἦκε παρὰ σοι Ἀρίσιππος, καὶ Πλάτων αὐτός· ὁ μὲν λοπτνέων μύρε, ὁ δὲ τὺς ἐν Σικελίᾳ τυράννες θεραπεύῃ ἐκμαθών. ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν. ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ, τάγε τοιαῦτα. πάντες ἂν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι, καὶ πάντα ἐγνωκέναι ταῦτα, δεῖ γὰρ οἶμαι τὰληθὲς λέγειν, ὑδὲν εἰδότα. ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς. οἱ δὲ, εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι. ΜΕΝΙΠ. Τίνες δὲ ἦτοί εἰσιν οἱ φοιτῶσί; ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος, καὶ ὁ τοῦ Κλεινίου. ΜΕΝ. Εὖγε, ὦ Σώκρατες, ὅτι καὶνταῦθα μέτρῳ τὴν σεαυτοῦ τέχνῃ, ἣ σὺκ ὀλιγωρεῖς τῶν καλῶν. ΣΩΚ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ. ΜΕΝ. Μὰ Δί', ἐπὶ τὸ Κροῖσον γὰρ καὶ Σαρδανάπαλον ἅπτομαι, πλησίον οἰκήσων αὐτῶν. ἔοικα γοῦν ὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκόων. ΑΙΑΚ. Κἀγὼ ἤδη ἅπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ πολλὰ δ' ἐσαῦθις ὄψῃ, ὦ Μένιππε. ΜΕΝ. Ἄπιθι. καὶ ταυτὶ γὰρ ἱκανὰ, ὦ Αἰακέ.

ΔΙΑΛΟΓΟΣ κδ'.

Μενίππυ καὶ Κερβέρυ.

ΜΕΝ. Ὦ Κέρβερε, συγγενὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέ μοι πρὸς τὸν Στυγὸς, οἷος ἦν ὁ Σωκράτης, ὁπότε κατῄει

κατ' ἐμὲ πρὸς ὑμᾶς. εἰκὸς δέ σε θεὸν ὄντα, μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι, ὁπότ' ἐθέλοις. ΚΕΡΒ. Πόρρωθεν μέν, ὦ Μένιππε, πανταπασιν ἐδόκουν ἀτρέπτῳ προσώπῳ προσιέναι, καὶ ἐ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν. καὶ τοῦτ' ἐμοὶ φῆναι τοῖς ἔξω δοκεῖν ἐθέλων. ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸ ζόφον, κἀγὼ ἔτι ἀμελοῦντα αὐτὸν ἔλακον τῷ κωνείῳ, κατέσπασα τοῦ ποδός, ὥσπερ τὰ βρέφη σπῶσιν, καὶ τὰ ἐκεῖ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγένετο. ΜΕΝ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; ΚΕΡΒ. Οὔκ· ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἐώρα, κατεθρασύνετο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος, ὁ πάντως ἔδει παθεῖν, ὡς θαυμάσωσιν οἱ θεαταί. καὶ ὅλως, ὦ Μένιππε, πάντα γε τὰ τοιαῦτα εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ σοφὸς τολμηρὸς καὶ ἀνδρεῖος, τὰ δ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. ΜΕΝ. Ἐγὼ δ' οὖν πῶς σοι κατελήλυθέναι ἔδοξα; ΚΕΡΒ. Μόνος, ὦ Μένιππε, ἀξίως τοῦ γένους, καὶ Διογένης πρὸ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι ἐσήλθετε, μηδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

ΔΙΑΛΟΓΟΣ κέ.

Χάρωνος καὶ Μενίππου.

ΧΑΡ. Ἀπόδος, ὦ κατάρατε, τὰ πραθμία. ΜΕΝ. Βόα, εἰ τοῦτό σοι ἡδύ, ὦ Χάρων. ΧΑΡ. Ἀπόδος φημὶ ἀνθ' ὧν σε διεπραθμευσάμην. ΜΕΝ. Οὐκ ἂν λάβοις

λάβοις παρὰ σοῦ μὴ ἔχοντος. ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕΝ. Εἴ μοὶ καὶ ἄλλός τις, οὐκ οἶδα· ἐγὼ δὲ, οὐκ ἔχω. ΧΑΡ. Καὶ μὴν ἄγξω σε, νὴ τὸν Πλούτωνα, ὦ μιαρὲ, ἢν μὴ ἀποδῷς. ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σου πατάξας, διαλύσω τὸ κρανίον. ΧΑΡ. Μάτην ἄρ' ἔσῃ πεπλουκὼς τοσοῦτον πλοῦν; ΜΕΝ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὃς μοι παρέδωκέ σοι. ΕΡΜ. Νὴ Δία· ὀναίμην, εἰ μέλλω γε ὑπερεκλίνειν τὸν νεκρῶν. ΧΑΡ. Οὐκ ἀποστήσομαί σου. ΜΕΝ. Τοῦτο γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παρεκάλεσε. πλὴν ἀλλ' ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις; ΧΑΡ. Σὺ δ' οὐκ ἠδεῖς ὡς κομίζειν δέον; ΜΕΝ. Ἠδειν μέν, οὐκ εἶχον δέ. τί ἦν, ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν; ΧΑΡ. Μόνος ἂν αὐχήσεις προῖκα πεπλευκέναι; ΜΕΝ. Οὐ προῖκα, ὦ βέλτιστε. καὶ γὰρ ἤντλησα, καὶ τὸν κώπην ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμεῖα. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. ὁ γὰρ θέμις ἄλλως γενέσθαι. ΜΕΝ. Οὐκοῦν ἀπάγαγέ με αὖθις εἰς τὸν βίον. ΧΑΡ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ σοῦ Αἰακοῦ προσλάβω. ΜΕΝ. Μὴ συνόχλει ἄν. ΧΑΡ. Δεῖξον τί σὺ τῇ πήρᾳ ἔχεις. ΜΕΝ. Θέρμους, εἰ θέλεις, καὶ τοὺς Ἑκάτης τὸ δεῖπνον. ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; οἷα δὲ σε ἐλάλει παρὰ τὸν πλοῦν τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων σχεδόν. ΕΡΜ. Ἀγνοεῖς, ὦ Χάρων, οἷον ἄνδρα διεπορθμεύσας; ἐλευθερον ἀκριβῶς, καὶ θείως αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος. ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω ποτέ— ΜΕΝ. Ἂν λάβῃς, ὦ βέλτιστε, θὶς δὲ οὐκ ἂν λάβοις.

ΔΙΑΛΟ-

ΔΙΑΛΟΓΟΣ κέ.

Διογένης καὶ Μαυσώλε.

ΔΙΟΓ. Ὦ Κὰρ ἐπὶ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς; ΜΑΥ. Καὶ ἐπὶ τῇ βασιλείᾳ μοὶ, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μοῦ ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων. καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος. καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμεγέθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρὸς, ἀλλ' οὐδὲ ὅτως ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατοι εἰκασμένων λίθου καὶ κάλλιστου, οἷον οὐδὲ νεὼν εὕροι τις ἂν ῥᾳδίως. οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν; ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῄς, καὶ τῷ κάλλει καὶ τῷ βάρει καὶ τάφου; ΜΑΥΣ. Νὴ Δί' ἐπὶ τούτοις. ΔΙΟΓ. Ἀλλ', ὦ καλὲ Μαύσωλε, ὅτε ἡ ἰσχὺς ἔτι σοι ἐνεῖνη, ὅτε ἡ μορφὴ πάρεστιν. εἰ γὰρ τινα ἐλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ. φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνὰ, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, καὶ τὰς ῥῖνας ἀπεσεσιμώμεθα. ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μοὶ ἴσως εἶεν ἐπιδείκνυσθαι, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους. ὡς δήτι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι· σὺ δὲ, ὦ βέλτιστε, ἐκεῖ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς

θοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος.
ΜΑΥΣ. Ἀνόητα ἂν μοι σκεῖνα πάντα, καὶ ἀστόιμος ἔσαι Μαύσωλος καὶ Διογένης;
ΔΙΟ. Οὐκ ἰστόιμος, ὦ γενναιότατε· ἀλλὰ Μαύσωλος μὲν δὴ οἰμώξεται, μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ, καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον. ὁ Διογένης δὲ, οὗ μὲ σώματος εἰ καὶ τίνα τάφον ἔχει, οὐκ οἶδεν. οὐδὲ ἦν ἔμελεν αὐτῷ τούτου. λόγον δὲ, τοῖς ἀρίστοις ὡς ἐν αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδέσατε, οὗ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

ΔΙΑΛΟΓΟΣ κζ'.

Νιρέως, Θερσίτου, καὶ Μενίππου.

ΝΙΡ. Ἰδὲ δὴ Μένιππος ὁτουοῦν δικάσῃ, πότερος εὐμορφότερός ἐσιν. εἰπὲ, ὦ Μένιππε, ὁ καλλίων σοι δοκῶ; ΜΕΝ. Τίνες δὲ καὶ ἐστε, πρότερον οἶμαι. χρὴ γὰρ τοῦτο εἰδέναι. ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης. ΜΕΝ. Πότερος ὁ Νιρεὺς, καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον. ΘΕΡ. Ἐν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρῃς, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπήνεσεν, ἀπάντων εὐμορφότατον προσφπῶν. ἀλλ' ὁ φοξὸς ἐγὼ, καὶ ψελὸς οὐδὲν χείρων ἐφάνην τῷ δικασῇ. ὥρα δέ σοι, ὦ Μένιππε,

Μένιππε, ὄντινα καὶ εὐμορφότερον ἡγῇ. ΝΙΡ. Ἐμὲ τὴν Ἀγλαΐας καὶ Χαροπῆς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον. ΜΕΝ. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες. ἀλλὰ τὰ μὲν ὄσα ὅμοια, τὸ δὲ κρανίον, ταύτῃ μόνον ἄρα διακρίνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὐθρυπτιον τὸ σόν. ἀλαπαδνὸν γοῦν αὐτὸ, καὶ σὺν ἀνδρῶδες ἔχεις. ΝΙΡ. Καὶ μὴν ἤρα Ὁμήρου, οἵπερ ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς. ΜΕΝ. Ὀνείρατά μοι λέγεις, ἐγὼ δὲ ἃ βλέπω, καὶ νῦν ἔχεις, σκιᾶ δὲ οἱ τότε ἴσασιν. ΝΙΡ. Οὐκοῦν ἐγὼ σύ ταῦθα εὐμορφότερος εἰμι, ὦ Μένιππε; ΜΕΝ. Οὔτε σὺ, οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γοῦν σύ ἅπασι, καὶ ὅμοιοι ἅπαντες. ΘΕΡ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

ΔΙΑΛΟΓΟΣ κη'.

Μενίππου καὶ Χείρωνος.

ΜΕΝ. Ἥκουσά, ὦ Χείρων, ὡς θεὸς ὢν ἐπιθυμήσας ἀποθανεῖν. ΧΕΙΡ. Ἀληθῆ ταῦτ' ἤκουσας, ὦ Μένιππε. καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος. ΜΕΝ. Τίς δέ σε ἔρως καὶ θανάτου ἔσχεν ἀνεράσθαι τοῖς πολλοῖς χρήμασι; ΧΕΙΡ. Ἔρῳ πρός σε οὐκ ἀσύνετον ὄντα. οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας. ΜΕΝ. Οὐκ ἡδὺ ἦν, ζῶντα ὁρᾶν τὸ φῶς; ΧΕΙΡ. Οὐκ, ὦ Μένιππε. τὸ γὰρ ἡδὺ, ἔγωγε ποικίλον τι, καὶ οὐκ ἁπλοῦν ἡγοῦμαι εἶναι. ἐγὼ δὲ ζῶν ἀεὶ, καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτὸς, τροφῆς, αἱ ὧραι δὲ αὗται, καὶ τὰ γιγνόμενα ἅπαντα ἐξῆς ἕκαστον,

ἔχαιρον, ὥσπερ ἀκολουθοῦντα θατέρου θατέρῳ, συνεπλήθυν γῶν αὐτῶν. ὁ γὰρ σὺν τῷ αὐτῷ ἀεὶ, ἀλλὰ καὶ σὺν τῷ μεταχεῖν ὅλως, τὸ τερπνὸν ἦν. ΜΕΝ. Εὖ λέγεις, ὦ Χείρων. τὰ σὺν ἄλλοις δὲ πῶς φέρεις, ἀφ' ὧν προελόμενος αὐτὰ ἔχεις; ΧΕΙΡ. Οὐκ ἀηδῶς, ω Μένιππε. ἡ γὰρ ἰσοτομία, πάνυ δημοτικὸν, καὶ τὸ πρᾶγμα ἔδεν ἔχει τὸ διάφορον σὺν φωτὶ εἶναι, ἢ σὺν σκότῳ. ἄλλως τε, οὐδὲ δίψῃν ὥσπερ ἄνω, ὅτε πιεῖν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν. ΜΕΝ. Ὅρα, ὦ Χείρων, μὴ φιλοπίπτης σεαυτῷ, καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος φέρῃ. ΧΕΙΡ. Πῶς τοῦτο φῄς; ΜΕΝ. Ὅτι εἴ τί σὺν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσχορὲς, καὶ συνταῦθα ὅμοια ὄντα, προσχορ' ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολήν γε ζητεῖν τινα, καὶ σύτευθεν ἐς ἄλλον βίον, ὅπερ οἶμαι ἀδύνατον. ΧΕΙΡ. Τί δ' ἂν πάθοι τις, ὦ Μένιππε; ΜΕΝ. Ὅπερ, οἶμαι, καὶ φασι, σωφρονοῦντα ὄντα, ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

ΔΙΑΛΟΓΟΣ κθ'.

Διογένης, Ἀντισθένης, καὶ Κράτητος.

ΔΙΟΓ. Ἀντίσθενες καὶ Κράτης, χολιῶ ἄγομαι. ὥστε τί σοι ἄπιμεν εὐθὺ τὴν καθόδον φιλοπατήσοντες, ὀψόμενοι τοὺς κατιόντας οἵοί τινές εἰσι, καὶ τί ἕκαστος αὐτῶν ποιεῖ; ΑΝΤ. Ἀπίωμεν, ὦ Διόγενες. καὶ γὰρ ἂν τὸ θέαμα ἡδὺ γένοιτο, τοὺς μὲν δακρύοντας

οντας αὐτῶν ὁρᾶν, τὸς δὲ ἱκετεύοντας ἀφεῖ-
θῆναι, ἐνίους δὲ μόλις κατιόντας, ἢ ἐπὶ τρά-
χηλον ἀθῆντος ὑπ' Ἑρμοῦ, ὅμως ἀντιβαίνοι-
τας ἢ ὑπλίσις ἀντερείδοντας, ὐδὲν δέον. ΚΡΑ.
Ἐγὼ γὰρ ἢ διηγήσομαι ὑμῖν ἃ εἶδον, ὁπότε
κατῄειν κατὰ τὴν ὁδόν. ΔΙΟΓ. Διήγησαι,
ὦ Κράτης. ἔοικας γάρ τινα παῤγέλοια ἐρεῖν.
ΚΡΑΤ Καὶ ἄλλοι μὲ πολλοὶ συγκατέβαι-
νον ἡμῖν. ἐν αὐτοῖς δ' ἐπίσημοι, Ἰσμηνόδω-
ρός τε ὁ πλούσιος, ὁ ἡμέτερος, καὶ Ἀρσάκης
ὁ Μηδίας ὕπαρχος, ἢ Ὀροίτης ὁ Ἀρμένιος.
ὁ μὲν ἦν Ἰσμηνόδωρος (ἐπεφύκειτο γὰρ ὑπὸ
λιγυρῶν παρὰ τὸ Κιθαιρῶνα, ἐς Ἐλευσῖνα οἶμαι
βαδίζων) ἔσεσέ τι, καὶ τὸ τραῦμα ἐν ταῖς
χερσοῖν εἶχε, καὶ τὰ παιδία τὰ νεογνὰ, ἃ
κατελελοίπει, ἀνεκαλεῖτο, καὶ ἑαυτῷ ἐπεμέμ-
φετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων,
καὶ τὰ περὶ τὰς Ἐλευθερὰς χωρία πανέρημα
ὄντα ὑπὸ τῶ πολέμων, διοδεύων, δύο μόνους
οἰκέτας ἐπήγετο, ἢ ταῦτα, φιάλας πέντε
χρυσᾶς, ἢ κυμβία τέτταρα μεθ' ἑαυτῶ ἔχων.
ὁ δ' Ἀρσάκης, γηραιὸς ἤδη, καὶ νὴ Δί' ὑπ'
ἄσεμνος τὴν ὄψιν ἐς τὸ βαρβαρικὸν, ἤχθετο,
ἢ ἠγανάκτει πεζὸς βαδίζων, καὶ ἠξίου τὸ ἵπ-
πον αὐτῷ προσαχθῆναι. καὶ γὰρ ὁ ἵππος αὐ-
τῷ συνετεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι ἁλό-
παρέντες ὑπὸ Θρᾳκός τινος πελτασοῦ, ἐν τῇ
ἐπὶ τῷ Ἀράξῃ πρὸς τὴ Καππαδόκην συμ-
πλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς δί-
ωκειτο, πολὺ τῶν ἄλλων προϋπεξορμήσας. ὑ-
ποσὰς δὲ ὁ Θρᾴξ, τῇ πέλτῃ μὲν ὑποδὺς, ἀπο-
σείει τὸν Ἀρσάκην κοντόν. ὅτος δὲ ὑποθεὶς τὴν
σάραυσαν, αὐτόν τε ἀμπείρει, ἢ τὸν ἵππον.
ΑΝΤ. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ
τοῦτο γενέσθαι; ΚΡΑΤ. Ῥᾴδια, ὦ Ἀντί-
σθενες, ὁ μὲν γὰρ ἐπήλαυνεν, εἰκοσίπηχύν
τινα

τινα κόντον προβεβλημέν@. ὁ Θρᾷξ δ', ἐπεὶ δὴ τῇ πέλτῃ ἀπεκρύσατο τὴν προσβολήν, κ) παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς γόνυ ὀκλάσας, δέχε) τῇ σαρίσῃ τὴν ἐπέλασιν. Ϲ τιτράσκ) τ ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμῷ κ) σφοδρότητ@ ἑαυτὸν ἀμφιέροντα, διαλαύνε) ὑ Ϲ ὁ Ἀρσάκης ἐς τ βασ῀ῶνα διαμπάξ, ἄχρις ὑπὸ τὴν πυγήν. ὁρᾷς οἷόν τι ἐγένετο, ἀ ἀνδρὸς, ἀλλὰ ἵππ@ μᾶλλον τὸ ἔργον, ἠγανάκτ) δὲ ὅμως, ὁμότιμος ὢν τοῖς ἄλλοις, καὶ ἠξίω ἱππεὺς κατιέναι. ὁ δέ γε Ὀροΐτης ὁ ἰδιώτης, κ) πάνυ ἀπαλὸς τὼ πόδε, κ) ἀδ' ἑσάναι χαμαὶ, ἀκ ὅπως βαδίζ) ἐδύνατο. πάσχει δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὴν ἀποβῶσι τ ἵππων, ὥσπερ οἱ ἐπὶ τ ἀκανθῶν ἐπιβαίνοντες ἀκροποδητὶ, μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν, ἔκ)το, κ) ἀδημονᾷ μηχανῇ ἀνίσασ) ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἁράμεν@ αὐτὸν, ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον, ἐγὼ δὲ ἐγέλων. ΑΝΤ. Καὶγὼ δὲ ὅτε κατήχ), ἀδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς, προσδραμὼν ἐπὶ τὸ πορθμεῖον, προκατέλαβον χώρην, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι. παρὰ τ πλῶν δὲ, οἱ μ ἐδάκρυόν τε, κ) ἀναυτίων, ἐγὼ δὲ μάλα ἐτερπόμην ἐν αὐτοῖς. ΔΙΟΓ. Σὺ μ, ὦ Κράτης, κ) Ἀντίσθενες, τοιούτων ἐτύχετε ξυνοδοιπόρων. ἐμοὶ δὲ Βλεψίας τε ὁ δανϛὴς, ὁ ἐκ Φραιῆ, κ) Λάμπις ὁ Ἀκαρνὰν, ξεναγὸς ὤν, κ) Δάμις ὁ Πλάτιος ἐκ Κορίνθ, συγκατήεσαν. ὁ μ Δάμις ὑπὸ δ παιδὸς ἐκ Φαρμακῶν ἀποθανών. ὁ δὲ Λάμπις δι' ἔρωτα Μυρτίδ τ ἑταίρας, ἀποφάξας ἑαυτόν. ὁ δὲ Βλεψίας λιμῷ ἆθλι@ ἐλέγετο ἀπεσκληκέναι, κ) ἐδήλα ὠχρὸς ἐς ὑπερβολὴν, κ) λεπτὸς ἐς τὸ ἀκριβέστατον φαινόμενος. ἐγὼ δὲ, καίπερ εἰδὼς,

ἀνέκρινον ὃν τρόπον ἀπεθάνοι. εἶτα τῷ μὲν Δα-
μιδι αἰτιωμένῳ τὸν υἱὸν, ὅτι ἄδικα μέλοι ἐ-
παθες, ἔφην, ὑπ' αὐτοῦ, ὃς τάλαντα ἔχων ὀ-
μοῦ χίλια, καὶ τρυφῶν αὐτὸς συνενηκονταέτης
ἦν, ὀκλωκαιδεκαέτῃ νεανίσκῳ τέτταρας ὀβολοὺς
παρεῖχες. σὺ δὲ, ὦ Ἀκαρνὰν (ἔστενε γὰρ κἀκεῖ-
νος, καὶ κατηρᾶτο τῇ Μυρτίᾳ) τί αἰτιᾷ τὸν
ἔρωτα, σαυτὸν δὲ οὔ; ὃς τὰς μὲν πολεμίους ἐ-
δὲ πώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγω-
νίζω περὶ τῶν ἄλλων. ὑπὸ δὲ τυχόντος παιδι-
σκαρίου, καὶ δακρύων ἐπιπλάσεων καὶ σεναγμῶν,
ἄλως ὁ γενναῖος. ὁ μὲν γοῦν Βλεψίας αὐτὸς,
ἑαυτοῦ κατηγορῶν φθάσας πολλὴν τὴν ἄνοιαν,
ὅτι χρήματα ἐφύλαττε τοῖς μηδὲν προσήκουσι
κληρονόμοις εἰς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομί-
ζων. πολὺν ἐμοί γε καὶ τὴν τυχοῦσαν τερπω-
λὴν παρέχον τότε γενόντες. ἀλλ' ἤδη μὲ ἐπὶ
τῷ σωμίῳ ἐσῳμῷ. ἀποβλέπειν χρὴ, καὶ ἀποσκοπεῖν
πόρρωθεν τοὺς ἀφικνουμένους. βαβαὶ, πολλοί γε
καὶ ποικίλοι, καὶ πάντες δακρύοντες, πλὴν τῶν
νεογνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ
γεγηρακότες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ
φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον ἂν τὸν
ὑπέργηρων ἔρεσθαι βούλομαι. τί δακρύεις τηλι-
κοῦτος ἀποθανών; τί ἀγανακτεῖς, ὦ βέλτιστε,
καὶ ταῦτα, γέρων ἀφιγμένος; ἦπου βασιλεὺς
ἦσθα; ΠΤΩ. Οὐδαμῶς. ΔΙΟΓ. Ἀλ-
λὰ σατράπης; ΠΤΩ. Οὐδὲ τοῦτο. ΔΙΟ.
Ἆρα δὴ ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολὺν
τρυφὴν ἀπολιπόντα τεθνάναι; ΠΤΩ. Οὐ-
δὲν τοιοῦτον. ἀλλ' ἔτι μὲ ἐγεγόνει ἀμφὶ τὰ
συνενήκοντα· βίον ὃν ἄπορον ἀπὸ καλάμου καὶ
ὁρμιᾶς εἶχον, ἐς ὑπερβολὴν πένης ὤν, ἄ-
τεκνός τε, καὶ προσέτι χωλὸς, καὶ ἀμυδρὸν
βλέπων. ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν, ζῆν
ἤθελες; ΠΤΩ. Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς,
καὶ

καὶ τὸ τεθνάναι ἀθνὸν κ☽ φαυλίδιον. ΔΙΟΓ. Παραπαίῃς, ὦ γέρον, κ☽ μῳρακιεύῃ πρὸς τὸ χρεών, κ☽ ταῦτα, ἡλικιώτης ὢν ☉ πορθμέως. τί ἔν ἄν τις ἴτι λέγοι ☉ τ☉ νέων, ὁπότε οἱ τηλικ☉τοι φιλόζωοί εἰσιν; ☉ς ἐχρῆν ἀώκειν ☉ θάνατον, ὡς ☉ ἐν τῇ γήρᾳ κακῶν φάρμακον; ἀλλ' ἀπίωμεν, μὴ καί τις ἡμᾶς ὑπίδηται, ὡς ἀποδράσιν βουλευόντας, ὁρῶν ☉ τὸ τόμιον εἰλυμμένους.

ΔΙΑΛΟΓΟΣ λ'.

Αἴαντος κ☽ Ἀγαμέμνονος.

ΑΓΑΜ. ΕΙ σὺ μανεὶς, ὦ Αἶαν, σεαυτὸν ἐφόνευσας, ἐμελίσας ☽ κ☽ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ ☉ Ὀδυσσέα; κ☽ σφῶν ἔτε προσέβλεψας αὐτὸν, ὁπότε ἦκε μαντευσόμενος, ἔτε προσφωνεῖν ἠξίωσας ἄνδρα συστρατιώτην, κ☽ ἑταῖρον· ἀλλ' ὑπεροπτικῶς μεγάλα βαίνων, παρῆλθες. ΑΙ. Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γάρ μοι ☉ μανίας αἴτιος κατέστη, μόνος ἀντεξεταθεὶς ἐπὶ τοῖς ὅπλοις. ΑΓ. Ἠξίους δὲ ἀναναγώνιστ☉ εἶναι, καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων; ΑΙ. Ναί, τά γε τοιαῦτα. οἰκεῖα γάρ μοι ἦν ἡ πανοπλία, ☉ ἀνεψιᾶ γε ὄσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπείπασθε ☉ ἀγῶνα, κ☽ παρεχωρήσατέ μοι ☉ ἄθλων. ὁ δὲ Λαέρτης, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα καταπεκόφθαι ὑπὸ ☉ Φρυγῶν, ἀμείνων ἠξίου εἶναι, κ☽ ἐπιτηδειότερ☉ ἔχειν τὰ ὅπλα. ΑΓ. Αἰτιῶ τοιγαροῦν, ὦ γενναῖε, τὴν Θέτιν, ἣ δέον σοι τὴν κληρονομίαν τῶν ὅπλων παρα-

ἀδόναι συγγενεῖ γε ὄντι, φέρεσα, ἐς τὸ κοινὸν κατέθετο αὐτά. ΑΙΑ. Οὐκ. ἀλλὰ τὴν Ὀδυσσέα, ὃς ἀντεποιήθη μόνος. ΑΓΑΜ. Συγγνώμην, ὦ Αἴαν, εἰ ἄνθρωπος ὤν, ὠρέχθην δόξης ἠδίστης πράγματος, ὑπὲρ ἧς καὶ ἡμῶν ἕκαστος κινδυνεύειν ὑπομένει, ἐπεὶ καὶ σὲ κρατήσασα, καὶ ταῦτα παρὰ Τρωσὶ δικασταῖς. ΑΙΑ. Οἶδα ἐγὼ, ἥτις μου κατεδίκασεν, ἀλλ' ὁ θέμις λέγειν τι περὶ τῶν θεῶν. τὴν γοῦν Ὀδυσσέα μὴ ὑχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον, εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ἐπιτάττοι.

ΔΙΑΛΟΓΟΣ λα'.

Μίνως καὶ Σωκράτης.

ΜΙΝ. Ὁ μὲν λεγόμενος Σώκρατες, ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθαι. ὁ δὲ ἱερόσυλος ὑπὸ τοῦ Χιμαίρας διασπασθήτω. ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ἀποταθείς, ὑπὸ τῶν γυπῶν κερέσθω καὶ αὐτὸς τὸ ἧπαρ. ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἅπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ τὰς Μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον. ΣΩΣΤ. Ἄκουσον, ὦ Μίνως, εἰ σοὶ δίκαια δόξω λέγειν. ΜΙΝ. Νῦν ἀκούσω αὖθις. ὁ γὰρ ἐξελήλεγξαι, ὦ Σώκρατες, πονηρὸς ὤν, καὶ τοσούτους ἀπεκτονώς; ΣΩΣ. Ἐλήλεγμαι μέν, ἀλλ' ὅρα, εἰ δικαίως κολασθήσομαι. ΜΙΝ. Καὶ πάνυ, εἴγε ἀποτίνυσι τὴν ἀξίαν δίκαιον. ΣΩΣ. Ὅμως ἀπόκριναί μοι, ὦ Μίνως. βραχὺ γάρ τι ἐρήσομαί σε. ΜΙΝ. Λέγε μὴ μακρὰ μόνον, ὅπως καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη. ΣΩΣ. Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραττον,

πρᾶτον, ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς μοίρας; ΜΙΝ. Ὑπὸ τῆς μοίρας δηλαδή. ΣΩΣΤΡΑ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες, καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς, ἐκείνῃ ὑπηρετοῦντες, ταῦτα δρῶμεν. ΜΙΝ. Ναὶ, τῇ Κλωθοῖ, ἣ ἑκάστῳ ἐπέταξε γεννηθέντι τὰ πραχθέα. ΣΩΣ. Εἰ δέ τις ἀναγκασθεὶς ὑπ' ἄλλου φονεύσειέν τινα, ἀδυνάμου ἀντιλέγειν ἐκείνῳ βιαζομένου, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθεὶς, ὁ δὲ τυράννῳ τινὰ αἱτιάσῃ καὶ φόνου; ΜΙΝ. Δῆλον ὡς τὸν δικαστὴν, ἢ τὸν τύραννον, ἐπεὶ καὶ τὸ ξίφος αὐτό. ὑπηρετεῖ γὰρ τοῦτο ὄργανον ὂν πρὸς τὸν θυμὸν, τῷ πρώτως πραχθέντι τὴν αἰτίαν. ΣΩΣΤ. Εὖγε, ὦ Μίνως, ὅτι καὶ ἐπιδαψιλεύῃ τοῖς παραδείγμασι· ἢν δέ τις ἀποστείλαντος τοῦ δεσπότου, ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τίνι τὴν χάριν ἰσέον, ἢ τίνα εὐεργέτην ἀναγραπτέον; ΜΙΝ. Τὸν πέμψαντα, ὦ Σώκρατες. διάκονος γὰρ ὁ κομίσας ἦν. ΣΩΣ. Οὐκοῦν ὁρᾷς, πῶς ἀδίκα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γενομένους, ὧν ἡ Κλωθὼ προσέταττε, καὶ τούτους τιμῶν τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; καὶ γὰρ δὴ ἐκεῖνο εἰπεῖν ἔχοι τις ἄν, ὡς ἀντιλέγειν δυνατὸν ἦν τοῖς μὴ πάσης ἀνάγκης προστεταγμένοις. ΜΙΝ. Ὦ Σώκρατες, πολλὰ ἴδοις ἂν καὶ ἄλλα ἀκατὰ λόγον γινόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσῃς τῆς ἐπερωτήσεως. διότι ἀληθὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. ἀπόλυσον αὐτὸν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. ὅρα δὲ, μὴ καὶ τοὺς ἄλλους νεκροὺς ἐρωτᾷν τὰ ὅμοια διδάξῃς.

ΔΙΑΛΟΓΟΣ λϚ'.

Μένιππος, ἢ Νεκυομαντεία.

ΜΕΝΙΠΠΟΣ, ΦΙΛΩΝΙΔΗΣ.

ΜΕΝ. Ὦ Χαῖρε μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς.
Ὡς ἄσμενός σ' ἐσεῖδον, ἐς φάος μολών.
ΦΙΛΩΝ. Οὐ Μένιππος οὗτός ἐστιν ὁ Κυων; ἐμβλῦσαι ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω Μενίππους ὅλους. τί δ' αὐτῷ βάλῃ τὸ ἀλλόκοτον τοῦ σχήματος, πῖλος καὶ λύρα καὶ λεοντῆ; προσιτέον δὲ ὅμως αὐτῷ. Χαῖρε, ὦ Μένιππε. καὶ πόθεν ἡμῶν ἀφῖξαι; πολὺν γὰρ χρόνον ἀπέφηνας σεαυτὴν πόλῃ. ΜΕΝ.
Ἥκω νεκρῶν κοσμοῦντα, καὶ σκότου πύλας λιπών,
Ἵν' ᾅδης χωρὶς ὦκισται θεῶν.
ΦΙΛ. Ἡράκλῆς, ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών, κἄτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; ΜΕΝΙΠ.
Οὐκ. ἀλλ' ἔτ' ἔμπνουν ἀΐδης μ' ἐδέξατο.
ΦΙΛ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; ΜΕΝ.
Νεότης μ' ἐπῆρε, καὶ θράσος τῆς νέας πλέον.
ΦΙΛ. Παῦσαι μακάριε τραγῳδῶν, καὶ λέγε ἑτοσί πως ἁπλῶς καταβὰς ἀπὸ τοῦ ἰαμβείου, τίς ἡ σολή; τί σοι τὴν κάτω πορείαν ἐδέησεν; ἄλλως γὰρ ἐχ ἡδεῖά τις, οὐδὲ ἀσπάσιος ἡ ὁδός. ΜΕΝ.
Ὦ φιλότης, χρῴ με κατήγαγον εἰς ᾅδαο,
Ψυχῇ χρησόμενον Θηβαίᾳ Τειρεσίαο.
ΦΙΛ. Οὕτως; ἀλλ' ἢ παραπαίεις. ἢ γὰρ ἂν ἔτας ἐμμέτρως ἐρραψῳδεῖς πρὸς ἄνδρας φίλους. ΜΕΝΙΠ. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε.

μεως

νεως· ἢ δὲ Εὐριπίδη καὶ Ὁμήρῳ συγγενόμενος, σὺν οἷσθ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρχεται. ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ τί ποιοῦσιν ἐν τῇ πόλει; ΦΙΛ. Καινὸν οὐδέν, ἀλλ' οἷα καὶ πρὸ σοῦ, ἁρπάζουσιν, ἐπιορκοῦσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. ΜΕΝ. Ἀθλιοι καὶ κακοδαίμονες. ἃ γὰρ ἴσασιν, οἷα ἔναγχος κεκύρωκε παρὰ τοῖς κάτω, καὶ οἷα κεχειροτόνηκε τὰ ψηφίσματα κατὰ τῶν πλουσίων, ἃ μὰ τὸν Κέρβερον, ὀδεμία μηχανὴ σοῦ ἀφυγεῖν αὐτούς. ΦΙΛ. Τί φῄς; δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε; ΜΕΝ. Νὴ Δία καὶ πολλά· ἀλλ' ὁ θέμις σοὶ φέρειν αὐτὰ πρὸς ἅπαντας, ὁδὲ τὰ ἀπόῤῥητα ἐξαγορεύειν, μὴ καί τις ἡμᾶς γράψεται γραφὴν ἀσεβείας ἐπὶ τῷ Ῥαδαμάνθυϊ. ΦΙΛ. Μηδαμῶς, ὦ Μένιππε, πρὸς σοῦ Διός, μὴ φθονήσῃς τῶν λόγων φίλῳ ἀνδρί. πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς τάττ' ἄλλα, καὶ πρὸς μεμνημένον. ΜΕΝ. Χαλεπὸν μὲ ἐπιτάττεις τὸ πίταγμα, ὦ ἀπάντη ἀσφαλές. πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. ἔδοξε δὴ τοὺς πλουσίους τούτους καὶ πολυχρημάτους, καὶ τὸ χρυσίον κατάκλῃσον, ὥσπερ τὸν Δανάλου φυλάττοντας ——————

2. ΦΙΛ. Μὴ πρότερον εἴπῃς, ὦ γαθὲ, τὰ δεδογμένα, πρὶν σὲ ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου. ἥτις αἰτία σοι τῆς καθόδου ἐγένετο, τίς δὲ ὁ τῆς πορείας ἡγεμών· εἶδες γὰρ ἔξωθεν ἅττε εἶδες, ἅττε ἤκουσας παρ' αὐτοῖς, εἰκὸς γὰρ δὴ φιλόκλωνον ὄντα σε, μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν. ΜΕΝ. Ὑπουργητέον καὶ ταῦτά σοι. τί γὰρ ἂν ὦ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; ὦ δὴ πρῶτά σοι δείκνυμι τὴν γνώμην τὴν ἐ-

μὴν, καὶ ὅλως ὡρμήθην πρὸς τὴν κατάβασιν. ἐγὼ γὰρ ἄχρι μὲν ἐν παισὶν ἦν ἀκόων Ὁμήρου καὶ Ἡσιόδου πολέμους καὶ στάσεις διηγουμένων, ὑμνοῦντων δὲ μόνον τὴν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη τῶν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν, καὶ βίας, καὶ ἁρπαγὰς, καὶ δίκας, καὶ πατέρων ἐξελάσεις, καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἡγεμόνα εἶναι καλὰ, καὶ ὑπερέργως ἐνήμην πρὸς αὐτά. ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἦκον οἱ νόμων τἀναντία τοῖς ποιηταῖς κελευόντων, μήτε μοιχεύειν, μήτε συσιάζειν, μήτε ἁρπάζειν· ἐν μεγάλῃ δὲ καθειστήκειν ἀμφιβολίᾳ, οὐκ εἰδὼς ὅτι χρησαίμην ἐμαυτῷ. ὅτε γὰρ τὰς θείας ἀνάγκας ἡγοίμην μοιχεῦσαι, καὶ συσιάσαι πρὸς ἀλλήλους, εἰ μὴ ὡς περὶ καλῶν τούτων ἐγίνωσκον, ὅτ' ἂν τοὺς νομοθέτας τἀναντία τούτοις παραινεῖν, εἰ μὴ λυσιτελεῖν ὑπελάμβανον.

3. Ἐπεὶ δὲ διηπόρουν, ἔδοξέ μοι ἐλθόντα παρὰ τοὺς καλουμένους τούτους φιλοσόφους, ἐγχρίσαι τε ἐμαυτὸν, καὶ δεηθῆναι αὐτῶν χρῆσθαί μοι, ὅτι βούλοιντο, καὶ τίνα ὁδὸν ἁπλῆν καὶ βεβαίαν ὑποδεῖξαι τοῦ βίου· ταῦτα μὲν δὴ φρονῶν προσῆλθον αὐτοῖς. ἐλελήθειν δ' ἐμαυτὸν εἰς αὐτὸ, φασὶ, τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος. παρὰ γοῦν τούτοις μάλιστα εὕρισκον ἐπισκοπῶν τὴν ἄγνοιαν καὶ τὴν ἀπορίαν πλείονα. ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν ὅτοι τοῦ ἰδιωτῶν βίον. ἀμελεῖ, ὁ μὲν αὐτῶν παρήνει τὸ πᾶν ἡδέως, καὶ μόνον τοῦτο ἐκ παντὸς μετιέναι, τοῦτο γὰρ εἶναι τὸ εὐδαιμονεῖν. ὁ δέ τις ἔμπαλιν, πονεῖν τὰ πάντα, καὶ μοχθεῖν, καὶ τὸ σῶμα καταναγκάζειν ῥυπῶντα καὶ αὐχμῶντα, καὶ πᾶσι δυσαρεστοῦντα, καὶ λοιδορούμενον, σωρεύειν ἐπιῤῥαψῳδῶν τὰ πάνδημα ἐκεῖνα τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς ἔπη, καὶ τὸν ἱδρῶτα,

καὶ

καὶ τὴν ἐπὶ τὸ ἄκρον ἀνάβασιν. ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο, καὶ ἀδιάφορον οἰεσθαι τὴν κτῆσιν αὐτῶν. ὁ δέ τις αὖ πάλιν ἀγαθὸν εἶναι καὶ τὸ πλοῦτον αὐτὸν ἀπεφαίνετο. ἐγὼ μὲν γὰρ τί χρὴ καὶ λέγειν; ὅσους ἰδέας, καὶ ἀσώματα, καὶ ἀτόμους, καὶ κενὰ, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὑσημέραι παρ' αὐτῶν ἤκουον ἐναντίων· καὶ τὸ πάντων δεινῶν ἀτοπώτατον, ὅτι καὶ τὰ ἐναντιωτάτων ἔκαστος αὐτῶν λέγων, σφόδρα νικῶντας καὶ πιθανὸς λόγους ἐπορίζετο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι, μήτε τῷ ψυχρὸν, ἀντιλέγειν ἔχειν, καὶ ταῦτα εἰδότα σαφῶς, ὡς οὐκ ἂν ποτε θερμόν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ. ἀτεχνῶς οὖν ἐπαθον τοῖς νυσταζουσι τοῦτοις ὅμοιον, ἄρτι μὲν ἐπινεύων, ἄρτι δὲ ἀνανεύων ἐμπαλιν. ἔτι δὲ πολλῷ τοῦτο ἐκείνων ἀτοπώτερον, τοὺς γοῦν αὐτοὺς τούτους εὑρισκον ἐπιτηρῶν, ἐναντιώτατα τοῖς αὐτῶν λόγοις ἐπιτηδεύοντας. τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων, ἐώρων ἀπριξ ἐχομένους αὐτῶν, καὶ μὲν τόκων ἀφερομένους, καὶ ἐπὶ μισθῷ παιδεύοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας. τοὺς τε τὴν δόξαν ἀποβαλλομένους, αὐτῆς ἕνεκα πάντα ἐπιτηδεύοντας. ἡδονῆς τε αὖ κεδὸν ἅπαντας κατηγοροῦντας, ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσηρτημένους. σφαλεὶς οὖν καὶ ταύτης τ' ἐλπίδος, ἔτι μᾶλλον ἐδυχέραινον, ἠρέμα παραμυθούμενος ἐμαυτὸν, ὅτι μὴ πολλῶν καὶ σοφῶν, καὶ σφόδρα ἐπὶ σωφρόνων ἀφορμῶν ἀνήκοός τε εἰμι, καὶ τἀληθὲς ἔτι ἀγνοῶν προσέρχομαι.

4. Καί μοί ποτε ἀγρυπνοῦντι τούτων ἕνεκα, ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα, δεηθῆναί τινος τῶν μάγων, τοῦ Ζωροάστρου μαθητῶν καὶ

Δμφδόχων. ἤκουον δ' αὐτοὺς ἐπᾳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε ᾧ ἄδει τὰς πύλας, καὶ καταάγειν ὸν ἂν βάλωνται ἀσφαλῶς, καὶ ὀπίσω αὖθις ἀναπέμπειν. ἄριστον ἔν ἡγεμόνι εἶναι, παρά τινος τούτων Δμφιπραξάμενον τὴν κατάβασιν, ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ, ὅτε μάντεως καὶ σοφοῦ, τίς ἐστιν ὁ ἄριστος βίος, καὶ ὃν ἄν τις ἕλοιτο εὖ φρονῶν. καὶ δὴ ἀναπηδήσας ὡς εἶχον τάχους, ἔτεινον εὐθὺ Βαβυλῶνος. ἐλθὼν δὲ, συγγίνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ θεσπεσίῳ τὴν τέχνην, πωλιῷ μὲ τὴν κόμην, γένυσιν δὲ μάλα σεμνὸν καθήμενον, τέγνομαι δὲ ἦν αὐτῷ Μιθροβαρζάνης. δεηθεὶς δὲ καὶ καθικετεύσας, μόλις ἔτυχον παρ' αὐτοῦ ἐφ' ὅτῳ βέλοιτο μισθῷ καθηγήσασθαί μοι τῆς ὁδοῦ. παραλαβὼν δέ με ὁ ἀνὴρ, πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλαυνε, κατάγων ἐπὶ τὸν Εὐφράτην, ἔωθεν πρὸς ἀνατέλλοντα τὸν ἥλιον, ῥῆσίν τινα μακρὰν ἐπιλέγων, ἧς ὁ σφόδρα κατήκουον. ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων, ἐπίτροχόν τι καὶ οὐκ ἀσφαλὲς ἐφθέγγετο, πλὴν ἀλλ' ἐώκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. μετὰ γὰρ τὴν ἐπᾳδὴν τρὶς ἂν μου πρὸς τὸ πρόσωπον ἐπτυσάς, ἐπανῄει πάλιν, ὁδὸν τῶν ἀπαντώντων προβλέπων. καὶ σιτία μὲν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα, καὶ μελίκρατον, καὶ τὸ τοῦ Χοάσπου ὕδωρ. εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. ἐπεὶ δὲ ἄλλις εἶχε τῆς προθαμτήσεως περὶ μέσας νύκτας ἐπὶ τὸν Τίγρητα ποταμὸν ἀγαγών, ἐκάθημέ τε μετ' ἐμοῦ, καὶ περιήγνισε δᾳδὶ καὶ σκίλλῃ, καὶ ἄλλοις πλείοσιν, ἅμα καὶ τὴν ἐπᾳδὴν ἐκείνην ὑποτονθορύσας. εἶτα ὅλον με καταμαγεύσας, καὶ περιελθὼν, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φαντασμάτων,

ταρμάτων, ἐπανάγῃ ἐς τὴν οἰκίαν, ὡς εἶχον ἀναποδίζοντα. καὶ τὸ λοιπὸν ἀμφὶ πλῶν εἴχομεν. αὐτὸς μὲν ἦν Μαγικήν τιν' ἔδυ σολήν, τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ. ἐμὲ δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ καὶ τῇ λεοντῇ, καὶ προσέτι τῇ λύρᾳ, καὶ παρεκελεύσατο, ἤν τις ἔρηταί με τὄνομα, Μένιππον μὲν μὴ λέγειν, Ἡρακλέα δὲ, ἢ Ὀδυσέα, ἢ Ὀρφέα. ΦΙΛ. Ὡς δὴ τί τοῦτο, ὦ Μένιππε; ἐγὼ σαφῶς οἶδα τὴν αἰτίαν ἅτε ξυσκηνήσας, ἅτε τὰ ὀνόματα. ΜΕΝ. Καὶ μὴν πρόδηλόν γε τοῦτο, καὶ ἐκ παντελῶς ἀπόῤῥητον. ἐπεὶ γοῦν ἔτοι πρὸ ἡμῶν ζῶντες εἰς ᾅδου κατεληλύθεσαν, ἠγνοεῖτο, εἰ μὲ ἀπέκαμνεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν τοῦ Αἰακοῦ φρουρὰν διαλαθεῖν, καὶ ἀκολούτως παρελθεῖν, ἅτε σαφῶς ἐσκηθεσερον τραγικῶς μάλα παραπεμπόμενον ὑπὸ τοῦ κήμματος.

5. Ἤδη δ' ἦν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες ἐπὶ τὸ ποταμὸν, ἔνθα ἀναγωγὰ ἐγιγνόμεθα. παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος, καὶ ἐρεῖαι, ἐκ μελίκρατα, καὶ ἄλλα ὅσα πρὸς τὴν τελετὴν χρήσιμα. ἐμβαλόμενοι δὴ ἅπαντα τὰ παρεσκευασμένα, ἔτω δὴ καὶ αὐτοὶ

Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.

Καὶ μέχρι μέν τινος ὑπερφερόμεθα ἐν τῷ ποταμῷ. εἶτα δ' ἐσεπλεύσαμεν ἐς τὸ ἕλος καὶ τὴν λίμνην, ἐς ἣν ὁ Εὐφράτης ἀφανίζεται. περαιωθέντες δὲ καὶ ταύτην, ἀφικνούμεθα ἐς τι χωρίον ἔρημον καὶ ὑλῶδες, καὶ ἀνήλιον, ἐς ὃ ἀποβάντες (ἡγεῖτο δὲ ὁ Μιθροβαρζάνης) βόθρον τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν, καὶ τὸ αἷμα περὶ τὸν βόθρον ἐπείσαμεν. ὁ δὲ μάγος ἐν τοσούτῳ δᾷδα καιομένην ἔχων, καὶ ἅτε ἠρεμίᾳ τῇ φωνῇ, παμμιγεῖς δὲ ὡς οἷός τε ἦν

ἦν ἀναπραγών, δαίμονάς τε ὁμοῦ πάντας ἐπιβοᾶτο, καὶ ποινὰς, καὶ Ἐριννύας, καὶ νυχίαν Ἑκάτην, καὶ αἰσχυνὴν Περσεφόνην, παραμιγνὺς ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα, εὐθὺς ἂν πάντα σκεῖνα ἐσαλεύετο, καὶ ὑπὸ τ' ἐπῳδῆς τὸ ἔδαφος ἀνερρήγνυτο, καὶ ἡ ὑλακὴ τοῦ Κερβέρου πόρρωθεν ἠκούετο, καὶ τὸ πρᾶγμα ὑπερκάτηφες ἦν καὶ σκυθρωπόν.

Ἔδδισεν δ' ὑπένερθεν ἄναξ σκότου ἀϊδωνεύς. Κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ ὁ Πυριφλεγέθων, καὶ τοῦ Πλούτωνος τὰ βασίλεια. κατελθόντες δ' ὅμως μετὰ τοῦ χάσματος, τὸ μὲν Ῥαδάμανθυν εὐρωμὴ τεθνεῶτα μικρῷ δεῖν ὑπὸ τοῦ δέους. ὁ δὲ Κέρβερος ὑλάκτησε μοὶ τοι, καὶ παρεκίνησε. ταχὺ δέ μου κρούσαντος τὴν λύραν, παραχρῆμα σκοιμήθη ὑπὸ τοῦ μέλους. ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἤλθομεν, μικρὸν μὲν ὠδ' ἐπεραιώθημεν, ἦν γὰρ ἤδη πλῆρες τὸ πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεον. τραυματίαι δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλήν, ὁ δὲ ἄλλο τι σωτετριμμένος, ἐμοὶ δοκεῖν ἔκ τινος πολέμου παρόντες. ὅμως δ' ὧν ὁ βέλτιστος Χάρων, ὡς εἶδε τὴν λεοντῆν, οἰηθείς με τὸν Ἡρακλέα εἶναι, ἐσεδέξατό με, καὶ διεπόρθμευσέ τε ἀσμένως. καὶ ἀποβᾶσι διεσήμαινε τὴν ἀτραπόν.

6. Ἐπεὶ δὲ ἤμην ἐν τῷ σκότῳ, προῆλθέ μοι ὁ Μιθροβαρζάνης, εἰπόμην δ' ἐγὼ κατόπιν ἐχόμενος αὐτοῦ, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τοῦ ἀσφοδέλου κατάφυτον, ἔνθα δὴ ἐπέτοντο ἡμᾶς τετριγυῖαι τῶν νεκρῶν αἱ σκιαί. κατ' ὀλίγον δὲ προϊόντες, παρεγενόμεθα πρὸς τὸ τοῦ Μίνω δικαστήριον. ἐτύγχανε δὲ ὁ μὲν ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καθήμενος. παρεστήκεσαν δ' αὐτῷ ποιναὶ καὶ Ἀλάστορες, καὶ Ἐριννύες· ἐτέρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἀλύσῳ

λύσῃ μαχρᾷ δεδεμένοι. ἐλέγοντο ἢ εἶναι μοιχοὶ, καὶ περνοβοσκοὶ, καὶ τελῶναι, καὶ κόλακες, καὶ συκοφάνται, καὶ τοιοῦτος ὅμιλος τῶν πάντα κυκώντων ἐν τῷ βίῳ. χαρὶς ἢ οἵτε πλούσιοι καὶ τοκογλύφοι προσήεσαν, ὠχροὶ, καὶ προγάστορες, καὶ ποδαγροὶ, κλοιὸν ἕκαστος αὐτῶν καὶ κόρακα διτάλαντον ἐπικείμενον. ἐφεξῆτες δὲ ἡμεῖς, ἐωρῶμέν τε τὰ γιγνόμενα, καὶ ἠκούομεν τῶν ἀπολογουμένων. κατηγόρουν δὲ αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες. ΦΙΛ. Τίνες δῆτοι πρὸς Διός; μὴ γὰρ δύνησῃ καὶ τοῦτο εἰπεῖν. ΜΕΝ. Οἶσθά πω σταυτασὶ τὰς πρὸς τὸν ἥλιον ἀπτελευμένας σκιὰς ἀπὸ τῶν σωμάτων; ΦΙΛ. Πάνυ μὲν οὖν. ΜΕΝ. Αὗται τοίνυν ἐφ' ἅλων ἀποθάνωμεν, κατηγοροῦσί τε, καὶ καταμαρτυροῦσι, καὶ διελέγχουσι τὰ πεπραγμένα ἡμῖν παρὰ τὸν βίον, καὶ σφόδρα τινὲς αὐτῶν ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ συνοῦσαι, καὶ μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων. ὁ δὲ δὴ Μίνως ἐπιμελῶς ἐξετάζων ἀπέπεμπεν ἕκαστον εἰς τὸν τῶν ἀσεβῶν χῶρον, δίκην ὀφείξοντα κατ' ἀξίαν τῶν τετολμημένων, καὶ μάλιστα ἐκείνων ἁπλοῦν τὸν ἐπὶ πλούτοις τε καὶ ἀρχαῖς τετυφωμένων, καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι θελόντων. τήν τε ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν, καὶ τὴν ὑπερηφάνειαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο, θνητοί τε ὄντες αὐτοὶ, καὶ θνητῶν ἀγαθῶν τετυχηκότες. οἱ δὲ ἀποδυτάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλοῦτον λέγω, καὶ γένη, καὶ δυνασείας, γυμνοὶ κάτω νενευκότες, παρῆσαν, ὥσπερ τινὰ ὄνειρον ἀναπεμπάζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν, ὥστε ἔγωγε ταῦτ' ὁρῶν, ὑπερέχαιρον. εἰ δέ τινα γνωρίσαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῇ πως ὑπεμιμνησκον, οἷος ἦν παρὰ τὸν βίον, καὶ ἀλίσκον ἐφύσατό τε, ἡνίκα πολλοὶ μὲν ἔωθεν ἐπὶ τὰ προθύρων παρῆσαν, τὴν πρόσοδον αὐτοῦ θεραπεύοντες, ὠθούμενοί τε καὶ ἀποκλῄόμενοι πρὸς τῶν οἰκετῶν.

οἰκετῶν· ὁ δὲ μόγις ἂν ποτε ἀνατείλας αὐτοῖς πορφυρᾶς τις, ἢ φοίνιξ ἢ Δαμοίκιλος, εὐδαίμονας ἔφετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσιόντας, ἢν τὸ σῆθος ἢ τὴν δεξιὰν προτείνων δοίη καταφιλεῖν· σκεῖνοι μὲν οὖν ἠνιῶντο ἀκούοντες.

7. Τῷ δὲ Μίνῳ μία τις καὶ πρὸς χάριν ἐδικάσθη δίκη. ἦ γάρ τοι Σικελιώτην Διονύσιον, πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῆς σοφῆς καταμαρτυρηθέντα, παρελθὼν Ἀρίστιππος ὁ Κυρηναῖος, (ἄγεσι δ' αὐτὸν σὺν τιμῇ, καὶ δύναται μέγιστον σὺν τοῖς κάτω) μικρὸν δεῖν τῇ χιμαίρᾳ προσδεθέντα, παρέλυσε τῆς καταδίκης, λέγων πολλοῖς αὐτὸν τῶν πεπαιδυμμένων πρὸς ἀγύριον γενέσθαι δεξιόν. ἀπιόντες δὲ ὁμοῦ ἐκ δικαστηρίου, πρὸς τὸ κολαστήριον ἀφικνούμεθα. ἔνθα δὲ, ὦ φίλε, πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαί τε καὶ ἰδεῖν· μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο, καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων, καὶ σρέβλαι, καὶ κύφωνες, καὶ τροχοὶ, καὶ ἡ χίμαιρα ἐσπάρατλε, καὶ ὁ Κέρβερος ἐδάρδαπλε, σκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πλωχοὶ, καὶ μετέμελε πᾶσι τῶν τετολμημένων· σύνιδς δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες ὁπόσοι ἦσαν τὸν ἔναγχον τετελδυτηκότων· οἱ δὲ συνεκαλύπλοντο καὶ ἀπεσρέφοντο. εἰ δὲ καὶ προσολέποιεν, μάλα δολοπρεπές τι καὶ κολακευτικόν. καὶ ταῦτα, πῶς οἴει, βαρεῖς ὄντες, καὶ ὑπερόπλαι παρὰ τὸν βίον; τοῖς μὲν γὰρ πένησιν ἡμιτέλεα τὰ κακῶν ἐδέδοτο, καὶ ἀναπαυόμενοι πάλιν σκολάζοντο.

8. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὸ γηγενὲς Τιτυὸν, Ἡράκλεις ὅσον; ἔκειτο γὰρ τόπον ἐπέχων

ων ἀγρῶν. διελθόντες ὀλίγον καὶ τοῦτον, ἐς τὸ πεδίον ἐσβάλλομεν, τὸ Ἀχερούσιον· εὑρίσκομεν δὲ αὐτόθι τοὺς ἡμιθέους τε καὶ τοὺς ἡρῴους, καὶ τὸν ἄλλον ὄμιλον τῶν νεκρῶν, κατὰ ἔθνη καὶ φῦλα διαιτωμένους, τοὺς μὲν παλαιούς τινας καὶ εὐρωτιῶντας, καὶ ὡς φησιν Ὅμηρος, ἀμενηνούς. τοὺς δὲ παλείους καὶ σωφρονεστέρους, καὶ μάλιστα τοὺς Αἰγυπτίων αὐτοὺς, ἀφ' ὧν τὸ πολυαρχὲς τῆς ταριχείας· τὸ μὲν γοῦν ἀφαγινώσκειν ἕκαστον, ὃ πάθος τι ἦν ῥᾴδιον. ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίνονται ὅμοιοι, τῶν ὀστέων γεγυμνωμένων, πλὴν μόγις καὶ ἀφ' πολλῶν ἀναθεωρήσαντες αὐτοὺς ἐγινώσκομεν. ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι, καὶ οὐδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες. ὥστε πολλῶν ἐν ταὐτῷ σκελετῶν κρανίων, καὶ πάντων ὁμοίων, καὶ φοβερόν τι καὶ ἀπρεπὲς διεδορκότων, καὶ γυμνοὺς τοὺς ὀδόντας προφαινόντων, ἠπόρουν πρὸς ἐμαυτὸν, ᾧ τινι ἀφορίσαιμι τὸν Θερσίτου ἀπὸ τοῦ καλοῦ Νιρέως, ἢ τὸν μεταίτου Ἶρον ἀπὸ τοῦ Φαιάκων βασιλέως, ἢ Πυῤῥίαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος. οὐδὲν γοῦν ἔτι τῶν παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἄδηλα καὶ ἀνεπίγραφα, καὶ ὑπ' οὐδενὸς ἔτι ἀφορίσειας ἂν κάμμα.

9. Τοιγάρτοι σκεῖνα ὁρῶντι, ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι μακρᾷ προσοικέναι, χορηγεῖν δὲ καὶ διατάττειν ἕκαστα ἡ τύχη, ἀφόρους καὶ ποικίλα τοῖς πομπεύουσι χήματα προσάπτουσα. τὸν μὲν γοῦν λαβοῦσα ἡ τύχη, βασιλικῶς διεσκεύασε τιάραν τε ἐπιθεῖσα, καὶ δορυφόρους παραδοῦσα, καὶ τὴν κεφαλὴν στέψασα τῷ ἀφανίσματι. τῷ δὲ, οἰκέτου χῆμα περιέθηκε· τὸν δέ τινα, καλὸν εἶναι δόξαν ἐμήσατο, τὸν δὲ ἄμορφον καὶ γελοῖον παρεσκεύασε.

ασε. παντοδαπὴν γὰρ οἶμαι δεῖν γενέσθαι τὴν θέαν. πολλάκις ὁ Ἅιδης μέσης τῆς πομπῆς μετέβαλε τὰ σκήπτρα, καὶ ἐκ ἐῶσα ἐς τὸ τέλος διαπομπεῦσαι, ὡς ἐτάχθησαν, ἀλλὰ μετ. αμφιέσασα, τὸ μὴ Κροῖσον ἠνάγκασε τὴν Ἕ οἰκέτου καὶ αἰχμαλώτου σκοτὴν ἀναλαβεῖν, τὸ δὲ Μαιάνδριον, τέως ἐν τοῖς οἰκέταις πομπεύοντα, τὴν Πολυκράτους τυραννίδα μετεκόσμησε, καὶ μέχρι μέν τινος εἴασε χρῆσθαι τῷ χήματι. ἐπεὶδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρελθὼν, πάλιν καὶ τὰ ἔκαστος ἀπέδυε τὴν σκοτὴν, καὶ ἀποδυσάμενος τὸ χῆμα μὲν καὶ σῶματος, ὥσπερ ἦν πρὸ ἕ, γίγνεται, μηδὲν τῆς πλησίον διαφέρων. ἔνιοι δ' ὑπ' ἀγναμοσύνης, ἐπεὶδὰν ἀπαιτῇ τὸ κόσμον ἐπισῶσα ἡ τύχη, ἄχθονταί γε, καὶ ἀγανακτοῦσιν, ὥσπερ οἰκείων τινῶν στερισκόμενοι, καὶ ἐχ ἅ πρὸς ὀλίγον ἐχρήσαντο ἀποδιδόντες. οἶμαι δὲ καὶ τὸ ἐπὶ τῆς σκηνῆς πολλάκις εἰωθέναι τὸς τραγικὸς ὑποκριτὰς τότε πρὸς τὰς χρείας τῶν διαμάτων, ἄρτι μὲν Κρέοντας, σύριστε ὄν, Πριάμους γιγνομένους, ἢ Ἀγαμέμνονας. καὶ ὁ αὐτὸς, εἰ τύχοι, μικρὸν ἔμπροσθεν μάλα σεμνῶς τὸ Ἕ Κέκροπος ἢ Ἐρεχθέως σχῆμα μιμησάμενος, μετ' ὀλίγον οἰκέτης προῆλθεν ὑπὸ ἕ ποιητοῦ κεκελευσμένος, ἤδη ὂν πέρας ἔχοντος ἕ διάματος. ἀποδυσάμενος ἔκαστος αὐτῶν τὴν χρυσόπαστον σκευὴν ἐσθῆτα, καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ καταβὰς ἀπὸ τῆς ἐμβατῶν, πένης καὶ ταπεινὸς ἀπεχώρει, οὐκ ἔτ' Ἀγαμέμνων ὁ Ἀτρέως, ἀ δὲ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πάλος Χαρικλέης Σκνιεὺς ὀνομαζόμενος, ἢ Σάτυρος ὁ Θεογείτονος Μαραθώνιος. τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγματά ἐστιν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

10. ΦΙΛ. Εἰπέ μοι, ὦ Μένιππε, οἱ τὸς πολυτε-

